# ΑΚΟΛΟΥΘΙΑΙ

## ΤΩΝ ΑΓΙΩΝ **ΙΑΣΩΝΟΣ** ΚΑΙ **ΣΩΣΙΠΑΤΡΟΥ**

ΤΗΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ **ΚΕΡΚΥΡΑΣ** ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ

ΤΟΥ ΑΓΙΟΥ **ΑΡΣΕΝΙΟΥ** ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΕΡΚΥΡΑΣ

ΤΗΣ ΟΣΙΑΣ **ΘΕΟΔΩΡΑΣ** ΤΗΣ ΑΥΓΟΥΣΤΗΣ
ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ **ΒΛΑΣΙΟΥ**

ΑΠΑΣΑΙ ΥΦ' ΕΝ

ΠΑΡΑ

**ΣΕΒΑΣΤΙΑΝΟΥ ΝΙΚΟΚΑΒΟΥΡΑ**

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΕΡΚΥΡΑΣ ΚΑΙ ΠΑΞΩΝ

**Μετὰ διορθώσεων καὶ προσθηκῶν, ἐπὶ τὸ βέλτιον ἐκδεδομέναι.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΛΟΥ

ΕΝ ΚΕΡΚΥΡΑ
ΧΡΩΜΟΤΥΠΟΓΡΑΦΕΙΟΝ Α. ΛΑΝΤΖΑ
1909.

ΤΩ ΕΚΖΗΤΗΣΑΝΤΙ ΜΕ

ΣΕΒΑΣΤΩ ΚΑΙ ΙΕΡΩ ΜΟΥ ΚΛΗΡΩ

ΜΕΤ' ΑΓΑΠΗΣ ΚΑΙ ΕΥΛΟΓΙΩΝ

ΕΥΓΝΩΜΟΝΩΣ ΑΦΙΕΡΟΥΤΑΙ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΠΡΟΛΟΓΟΣ

Τοῖς εὐσεβέσιν ἐν Κυρίῳ χαίρειν.

Συνταυτιζόμενος ἐν πᾶσι πρὸς τὰ ὑπὸ τοῦ ἀοιδίμου Ἀνδρέου Μαυρομμάτου εἰρημένα ἐν τῷ προλόγῳ, ὃν ἀναγράφομεν, τῆς ἀκολουθίας τῶν Ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου ὑπὸ τοῦ σοφοῦ Νικολάου τοῦ Βουλγάρεως διεσκευασμένης, ὅτι ἄξιον ἐστὶ καὶ προσῆκον τὰς τῶν Ἁγίων Μνήμας ὕμνοις καὶ δοξολογίαις ἱεραῖς ὑπὸ παντὸς τοῦ Χριστωνύμου τιμᾶσθαι πληρώματος, καὶ ὅτι διαφερόντως ἑκάστῃ κατὰ μέρος Ἐκκλησίᾳ ἐστὶν ὀφειλόμενον τοὺς πρώτους ἐν αὐτῇ κήρυκας καὶ Εὐαγγελιστὰς τῆς εἰς Χριστὸν πίστεως ἀναδειχθέντας, γεραίρειν καὶ τὴν τούτων ἐπικαλεῖσθαι πρεσβείαν· τὸν αὐτὸν δὲ καὶ ἡμεῖς ἔχοντες λόγον, ὅτι δηλαδὴ, ἐκλελοιπότων ἤδη, ἕνεκα τοῦ πολλοῦ χρόνου, τῶν ἀντιτύπων τῶν ἱερῶν ἀκολουθιῶν τῶν Ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου, καὶ τῆς Ἁγίας Παρθενομάρτυρος Κερκύρας τῆς βασιλίδος, ὧν οἱ μὲν ἐκήρυξαν τὸ Εὐαγγέλιον ἐν τῇδε, τῇ τότε εἰδωλολάτριδι γῇ, ἡ δὲ ἐπεσφράγισε καὶ αὐτὴ ὡς ἐκεῖνοι, διὰ τῆς ἐκχύσεως τοῦ παρθενικοῦ αὐτῆς αἵματος τὴν ὑπ' αὐτῶν Θείαν διδασκαλίαν τοῦ Σωτῆρος, ἐξ ἴσης δὲ μὴ εὑρισκομένων μηδὲ τῶν ἀκολουθιῶν τοῦ Ἁγίου Ἀρσενίου Ἀρχιεπισκόπου Κερκύρας, τοῦ κλείσαντος τὸν θρόνον αὐτῆς ἐπὶ εἴκοσι περίπου ἔτη, καὶ ὅλην τὴν ἰδίαν ζωὴν δι' ἀρετῆς καὶ παιδείας ἁγιάσαντος, καὶ τῶν τῆς Ἁγίας Θεοδώρας τῆς Αὐγούστης τῆς στερεωσάσης τὴν Ὀρθοδοξίαν καὶ διηνεκῶς εὐλογούσης τὴν Κέρκυραν διὰ τοῦ ἱεροῦ αὐτῆς σκήνους, ὅπερ ἐν τῇ καθ' ἡμᾶς Μητροπόλει τεθησαύρισται(1), καὶ τῶν τοῦ Ἁγίου Βλασίου, αἵτινες ἐδημοσιεύθησαν ἰδιαιτέρως, καί, ὡς λέγει ὁ σοφὸς Μαυρομμάτης, οὐκ ἔτι πάρεστιν εὑρεῖν τὰ ἱερὰ ταῦτα βιβλία τοῖς προθυμουμένοις, τοὺς εἰρημένους Ἁγίους καὶ προστάτας καὶ ἰδιαιτέρους ἡμῶν πρὸς τὸν Θεὸν πρέσβεις, ἑορτά-

---

(1) Τὸ ἅγιον Λείψανον τῆς Ὁσίας Θεοδώρας μετεκομίσθη ἐν τῇ Μητροπόλει, τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας, 7 Μαρτίου 1842, ἐπιμελείᾳ τοῦ ἀοιδίμου προκατόχου ἡμῶν Μητροπολίτου Χρυσάνθου τοῦ Μασσέλου.

ζειν τε καὶ τιμᾶν, ἔγνωμεν ἵνα καὶ ἡμεῖς ἀνατυπώσωμεν αὐτά, ἐπιπροστιθέμενοι ὅσα, ἢ διὰ βραχυλογίαν, ἢ δι' ἔλλειψιν χώρου, ἢ δι' ἄλλην αἰτίαν παρελείφθησαν. Οὕτω κατεχωρίσαμεν, π. χ. τὰ τρία τροπάρια τοῦ Μηναίου εἰς τὸ Κύριε ἐκέκραξα, ἐν τῇ ἀκολουθίᾳ τῶν Ἀποστόλων κ.τ.λ. ἐν τῷ συναξαρίῳ ἔθεμεν σημείωσιν παραπεμπτικήν, ἵνα γνωρίσωμεν τῷ θέλοντι μελετῆσαι σχετικὰ πρὸς τὸν βίον τῶν τε Ἀποστόλων καὶ τῆς Παρθενομάρτυρος· καὶ λέγομεν τοῦτο, διότι ἐστὶν ὄντως περίεργον πῶς ἡμεῖς οἱ Κερκυραῖοι περὶ τοιαύτης ἰδίᾳ ἐνδόξου Κερκυραίας οὐδὲν μέχρι τοῦδε ἐποιήσαμεν, οὔτε ἱστορικὰς μελέτας, οὔτε περὶ τοῦ ποῦ καὶ πῶς τέθαπται ἐζητήσαμεν, οὔτε ναὸν καὶ ἰδιαιτέραν περὶ αὐτῆς ἱδρύσαμεν ἑορτήν. Ἡμεῖς πειρώμενοι ἵνα ἐγείρωμεν ναὸν αὐτῆς, ἐν τῇ ἐν Ἁγίῳ Ρόκκῳ πλατείᾳ, οὐδὲν μέχρι τοῦ δεῦρο κατωρθώσαμεν, ἄλλον δὲ δὲν γνωρίζομεν ἐὰν σπουδαίως ἐνδιαφέρηται. Ἀλλ' ἡ καρτερικὴ καὶ πολύαθλος ἁγία Κερκύρα φωτίσαι ἡμᾶς, ἵνα ἐγερθῶμεν ἀπὸ τοιούτου ληθάργου. Ὡσαύτως καὶ ἄλλας μικρὰς ἐποιήσαμεν σημειώσεις διὰ τὸν αὐτὸν πάντως λόγον. Ἐπειδὴ μέντοι, εἴτε ἐξ ἀμελείας τῶν ἀναγραφέων, εἴτε ἐξ ἀπειρίας τῶν τυπογράφων, παρεισέφρησαν καὶ οὐκ ὀλίγα τὰ τυπικὰ ἁμαρτήματα, διὰ τοῦτο διορθοῦμεν αὐτὰ καὶ ἐνταῦθα, ὡς καὶ ἐν ταῖς ἄλλαις ἀκολουθίαις. Π. χ. ἐν τῇ ἀκροστιχίδι τοῦ Β'. κανόνος τῶν Ἁγίων, ἐν σελίδι 9 εὑρίσκεται ἡ λέξις ἧδε = ἐν τῇδε τῇ γῇ, ἀλλ' ἡμεῖς ἐτρέψαμεν εἰς *ἡδὲ* τὸν Ὁμηρικὸν *καί*, ἵνα συμφωνήσῃ πλειότερον πρὸς τὸ σχετικὸν ἀρχικὸν γράμμα τοῦ κανόνος *Ἤρτηται*, καὶ ἵνα γένηται σαφέστερον· ὡσαύτως καὶ ὅσα ἀπαντῶσιν ἐν τῇ τῆς Ἁγίας Ἀνάσσης ἀκολουθίᾳ. Οὕτως ἐν τῇ προμετωπίδι ἀντὶ *ποιησάσης* ἐγράψαμεν *στερεωσάσης*, διὰ τῶν βασιλικῶν αὐτῆς μέσων, τὴν Ὀρθοδοξίαν, καθ' ὅσον τὴν Ὀρθοδοξίαν καθ' ἑαυτὴν ἐννοουμένην, τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἡγίασε καὶ ἐποίησεν. Ἐν τῷ δευτέρῳ προσομοίῳ τοῦ Κύριε ἐκέκραξα, ἀντὶ ἡ ***Κόνις***, ἐγράψαμεν ἡ *Θήκη*, διότι τὸ Ἅγιον Λείψανον οὐκ ἔστι κόνις, ἀλλὰ Σῶμα στερεὸν καὶ ἄπτον. Ἐν τῷ αὐτῷ ἀντὶ τοῦ *ῥωννύησι*, τύπου ἀνυπάρκτου, ὥς γε ἡμεῖς γινώσκομεν, ἔθεμεν *ῥώννυσι*, καὶ ἵνα μὴ ἡ ἀποκοπεῖσα συλλαβὴ φέρῃ τοῦ ᾄσματος τὸ πλημμέλημα, προσέθεμεν τὸν *καί*. Οὕτως ἐποιήσαμεν καὶ ὅπου εὕρομεν τοιαῦτα, ὡς ἐν τῇ ἀκολουθίᾳ τοῦ Ἁγίου Βλασίου, δηλονότι, οὐτινος τὴν μαλλιαρὰν ἐν τῇ βιογραφίᾳ φρασεολογίαν ἀνεβιβάσαμεν, ὅσον τὸ δυνατόν, εἰς τὴν καθαρεύουσαν· ἁπλοῦν



δέ τι, μεγάλης ἁπλοϊκότητος διήγημα ἐξωβελίσαμεν. Οὕτως οὖν ἐποιήσαμεν πρὸς πάντα τὰ τούτοις ὅμοια, ἅπερ καὶ παραλείπομεν ἵνα μὴ περιττὰ λέγωμεν· ἄλλως δέ, τὸ διορθοῦν ἐπιβεβλημένον ἡμῖν ἐστίν.

Τῆς Ἁγίας Αὐγούστης ἡ μνήμη τελεῖται τῇ ια'. Φεβρουαρίου, ἐπεὶ δὲ συμπίπτει καὶ ἡ τοῦ Ἱερομάρτυρος Βλασίου, ἐνομίσαμεν καὶ ἡμεῖς καλόν, ἵνα συνδέσωμεν τὴν ἁγίαν αὐτοῦ ἀκολουθίαν μετ' ἐκείνης τῆς Ἁγίας Θεοδώρας, ὅπως πάντες μὲν οἱ τὰ Χερουβὶμ εἰκονίζοντες ψάλται, ἰδίᾳ δὲ οἱ τῆς καθ' ἡμᾶς Μητροπόλεως, προχείρους ἔχωσιν ἀμφοτέρας.

Ἀναγράφομεν τὰς ἱερὰς ταύτας ἀκολουθίας ἐπὶ τῇ πεποιθήσει, ὅτι πράττομεν ἔργον εὐγνωμοσύνης πρὸς τοὺς Ἁγίους ὀφειλομένης. Διότι, ἐὰν τοῖς ὑπὲρ ἑστιῶν καὶ Πατρίδος ἀγωνισαμένοις τιμὴ καὶ ἔπαινος ἐπιβραβεύηται, πόσῳ μᾶλλον τιμὴ καὶ ἐγκώμιον, ψάλμα ὁμοῦ καὶ ᾆσμα ἐμπρέπει τοῖς προσκομισαμένοις ἡμῖν τὴν λογικὴν τοῦ Χριστοῦ Θρησκείαν, καὶ ἀπαλλάξασιν ἡμᾶς τῆς τῶν εἰδώλων ἐπικοινωνίας; Καὶ ἵνα τις μετρήσῃ τῆς εὐεργεσίας τὸ μέγεθος, ἀρκεῖ ἵνα φαντασθῇ τὴν τελματώδη ἀπελπισίαν, ἐν ᾗ εὑρίσκοντο οἱ ἐν τῇ πλάνῃ τῶν εἰδώλων κείμενοι. Οὗτοι, μὴ ἔχοντες περὶ ψυχῆς καὶ ἀθανασίας αὐτῆς ἀκριβῆ ἰδέαν, οὔτε περὶ Παραδείσου καὶ περὶ τῆς μετὰ τοῦ αἰωνίου Θεοῦ ζωῆς, ἔλεγον ὅτι ἡ κατοικία τῶν ψυχῶν ἐστὶν ὁ Ἅδης. Ἀναφέρει ὁ Ὅμηρος ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος αὐτοῦ στίχοις, ὅτι ἡ Μῆνις τοῦ Ἀχιλλέως «πολλὰς ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν ἡρώων»(1) οὐχὶ δηλονότι ἐν τοῖς κόλποις Ἀβραάμ, ἀλλ' «εἰς σπέος πρὸς ζόφον εἰς ἔρεβος τετραμμένον»,(2) δι' ὃ καὶ πολὺ εἶχε τὸ δίκαιον ὁ ἀοίδιμος, ἐκεῖνος Ἰοβιανός, ὅστις τὸν ἐν τῇ ἐνταῦθα Παλαιοπόλει ναὸν τῶν εἰδώλων εἰς Χριστιανικὸν μετέβαλεν, ἐπιγράψας ἐπὶ τῆς ζωοφόρου καὶ τοῦ ἐπιστυλίου τοὺς ἑξαμέτρους τούτους:

«Πίστιν ἔχων βασίλιαν ἐμῶν μενέων συνέριθον,
Σοὶ μάκαρ Ὑψίμεδον, τόνδ' ἱερὸν ἔκτισα νηόν,
Ἑλλήνων τεμένη καὶ βωμοὺς ἐξαλαπάξας,
Χειρὸς ἀπ' οὐτιδανῆς Ἰοβιανὸς ἔδνον Ἄνακτι».

Καὶ ἴσως πολλάκις θὰ προσετίθη τοῖς ἀπίστοις καὶ ἐκεῖνα, ἅπερ

---

(1) Ἰλιάδος Α.
(2) Ὀδυσσείας Μ.

οἱ πρῶτοι κήρυκες τοῦ Χριστιανισμοῦ ἐν Κερκύρᾳ, αὐτοὶ οὗτοι οἱ Ἰάσων καὶ Σωσίπατρος ἔλεγον τῷ ἐπαράτῳ Κερκυλλίνῳ· «Ἐχθρὲ πάσης δικαιοσύνης καὶ ἀληθείας, υἱὲ διαβόλου, οὐκ αἰσχύνῃ θεοὺς ὀνομάζων τοὺς τὰ τῆς αἰσχύνης ἔργα δεδρακότας; Τί γὰρ ἐν αὐτοῖς ἄξιον ἔργον εἶδες ἢ ἤκουσες; οὐχὶ μέθαι καὶ ἀσέλγειαι, καὶ τέκνων καταπόσεις, γοητεῖαί τε καὶ παιδοφθορίαι τὰ ἐκείνων σεμνολογήματα;» Ὀφείλομεν ἄρα οἱ μὲν ποιοῦντες ὕμνους, οἱ δὲ ἐκδίδοντες, καὶ ἄλλοι ψάλλοντες αὐτούς, ἵνα τῶν διδασκάλων καὶ κηρύκων τῆς Πίστεως, τῶν ἡρώων τοῦ Χριστιανισμοῦ καὶ μεγάλων τοὐντεῦθεν τῆς ἀνθρωπότητος εὐεργετῶν, τελῶμεν τὴν μνήμην ὕμνοις καὶ ἐγκωμίοις αὐτὴν ἐπιστέφοντες. Ἐπὶ τούτῳ ἡμεῖς, ἅμα ἐπελάβομεν τοῦ Ἀρχιερατικοῦ Θρόνου Κερκύρας, εἰς ὃν ὁ Θεὸς δι' ἄπειρον ἔλεος ἡμᾶς τοὺς ἀναξίους ἀνεβίβασεν, εὐθὺς μεταξὺ τῶν ἄλλων ὡρίσαμεν, ἵνα ἐν ὅλῃ τῇ νήσῳ τελῆται ἡ Θεία Λειτουργία κατὰ τὴν μνήμην τῶν Ἁγίων ἡμῶν διδασκάλων. Καὶ νῦν δὲ ἐπισημότερον, Θεοῦ συναιρομένου, θέλομεν κανονίσῃ τὰ κατὰ ταύτην τελεσθησόμενα.

Ὁ δὲ συντάξας τὰς ἱστορικὰς σωζομένας μαρτυρίας περὶ τῶν ἡμετέρων Ἀποστόλων, ἐάν τις ἠρώτα, ἐστί, κατὰ τὴν πιθανωτέραν γνώμην, ὁ Ἅγιος Ἀρσένιος. Ὁ μακαρίτης Ῥωμανὸς (ὁ καὶ ἡμέτερος καθηγητὴς) ἐν τοῖς Κερκυραϊκοῖς αὐτοῦ λέγει, ὅτι τὰς πλείστας τῶν ἱστορικῶν ἐγχωρίων παραδόσεων, περί τε τῶν Ἁγίων καὶ τοῦ ἐν Ἀνεμομύλῳ ναοῦ κ.τ.λ. ἔλαβεν ἐκ τῶν ἀρχαιοτάτων Πράξεων τῶν Ἁγίων, αἵτινες συνετάχθησαν, ***πιθανόν***, ὑπὸ αὐτοῦ τοῦ Μητροπολίτου Κερκύρας Ἀρσενίου, καὶ ὅτι αὗται, ἀνέκδοτοι οὖσαι ἔν τινι χειρογράφῳ τῆς ἐν Παρισίοις ἐθνικῆς βιβλιοθήκης, ἐδημοσιεύθησαν μετὰ τῆς Ἀκολουθίας τῶν Ἁγίων ὑπὸ τοῦ πολυμαθοῦς Ἀνδρέου Μαυρομμάτου, ὅστις τῷ 1850 παρέλαβε παρὰ τοῦ πολλοῦ Μουστοξύδου, ὅστις πρῶτος ἀνεῦρε τὰς πολυτίμους ταύτας Πράξεις καὶ κατεχώρισεν ἐν οἷς ἐξεδίδου Κερκυραϊκοῖς.(1) Διά τοι τοῦτο καὶ ἡμεῖς, ἐν τῇ μετὰ χεῖρας ταύτῃ ἐκδόσει, ἀναδημοσιεύομεν, ὅσα ἀφορῶσιν εἰς τὸν Μαυρομμάτην, τήν τε ἔγκρισιν δηλ. καὶ τοὺς ὑπὲρ αὐτοῦ δικαίους ἐπαίνους τοῦ ἀοιδίμου προκατόχου ἡμῶν Ἀθανασίου καὶ τὸν πρόλογον, ὃν αὐτὸς

(1) Ἐπιθι Κερκυραϊκοῖς Ῥωμανοῦ ὑπὸ Λ. Βροκίνη ἐκδοθεῖσιν. Καὶ Appendice Μουστοξύδου ἐν σελίσιν XI.



οὗτος ἐποίησεν ἐν τῇ πρὸ ταύτης ἐκδόσει, καὶ περὶ οὗ ἡμεῖς ἀρχόμενοι εἴπομεν.

Ὁ δὲ πρὸ τοῦ Ἁγίου Ἀρσενίου σημειώσας τὰ κατὰ τὰς ἡμέρας τῶν Ἁγίων συμβάντα, ἄλλος οὐκ ἔστι, κατὰ τὴν ἡμετέραν γνώμην γνωστός, εἰ μὴ ὁ Πρεσβύτερος Θεοδόσιος, ὁ θεωρῶν καὶ γράφων ἕκαστα, ὡς σημειοῦται ἐν τῷ βίῳ τῶν Ἁγίων, ὅστις οὐ μόνον ἔγραφεν, ἀλλὰ καὶ ἥρπαζε τὰ σώματα τῶν ὑπὲρ Χριστοῦ ἀποθνησκόντων καὶ μετὰ τῆς προσηκούσης τιμῆς ἔθαπτεν.

Ἐνταῦθα γενόμενοι τοῦ λογου, δέον ἵνα σημειώσωμεν ὅτι ὁ ἐν Ἁγίοις πατὴρ ἡμῶν Ἀρσένιος, ποῦ μὲν ἀναγράφεται Μητροπολίτης, ποῦ δὲ Ἀρχιεπίσκοπος. Ἀλλὰ τοῦτό ἐστιν ὅλως ἀδιάφορον, διότι ἀπὸ τοῦ 4ου ἤδη αἰῶνος, ἐγένετο χρῆσις τοῦ τίτλου τούτου εἰς πάσας τὰς τοῦ Ῥωμαϊκοῦ καὶ εἶτα Βυζαντινοῦ κράτους μεγαλοπόλεις(1). Ἄλλως δέ, καθ' ἃ λέγει ὁ λόγιος Σπ. Κ. Παπαγεωργίου, ἐν μιᾷ κατὰ τὸ 1871 ἀξιολόγῳ διατριβῇ αὐτοῦ περὶ τοῦ Ἁγίου Ἀρσενίου, γίνεται ἡμῖν γνωστόν, ὅτι κατὰ τὴν εἰς τέσσαρας Νομαρχίας διαίρεσιν τοῦ Κράτους, ἣν ἐποίησεν ὁ Μέγας Κωνσταντῖνος, ἡ Ἀρχιεπισκοπὴ Κερκύρας ὑπήγετο εἰς τὸν Μητροπολίτην Νικοπόλεως (Πρεβέζης), καὶ οὗτος πάλιν εἰς τὸν Πάπαν. Ἀλλὰ Λέοντος τοῦ Ἰσαύρου ἑνώσαντος, κατὰ τὸν Η'. αἰῶνα, τὰς τῆς Ἰλλυρίας ἐκκλησίας πρὸς τὴν τῆς Κωνσταντινουπόλεως, καὶ προβιβασθείσης τῆς Ἀρχιεπισκοπῆς Κερκύρας εἰς Μητρόπολιν, ἔπαυσεν ὁ Κερκύρας, ἵνα ὑπάγηται ὑπὸ τὸν τῆς Νικοπόλεως, ἐξηρτᾶτο δὲ κατ' εὐθεῖαν ἀπὸ τοῦ Οἰκουμενικοῦ Πατριάρχου, εἰ καὶ ὁ Μητροπολίτης Κερκύρας ἐπὶ ψιλῷ ὀνόματι ἐλέγετο τοιοῦτος, διότι οὐδένα εἶχεν ὑφ' ἑαυτὸν Ἐπίσκοπον(2). Ἐτιμήθη δὲ ἢ μᾶλλον προήχθη εἰς Μητρόπολιν ἡ Κέρκυρα διὰ τὰς ἀρετάς, ὡς εἰκάζομεν καὶ ἡμεῖς, τοῦ Ἁγίου Ἀρσενίου, διότι πρῶτον οὗτος ἔλαβε τὸν τίτλον τοῦτον ὑπὸ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ οὕτως ἡ Κέρκυρα κατατάσσεται ὡς ἔχουσα τὴν 74ην σειρὰν ἐν τῇ τάξει τῶν Μητροπόλεων.

Νῦν δὲ δίκαιον ἡγούμεθα, ἵνα γνωρίσωμεν τοῖς εὐσεβέσι τέκνοις ἡμῶν ἐν Χριστῷ, καὶ τοὺς ἀοιδίμους συγγραφεῖς τῶν ἱερῶν τούτων

(1) Ἐπιθι Χρ. Ἀρχαιολογίαν Ν. Καλογερᾶ ὑπὸ Παπαδοπούλου κ.τ.λ. σελ. 39.

(2) Ἐκτὸς ἐὰν ἦσαν, ὅπερ ἀγνοοῦμεν, ὡς παραδειγματίζει ἡ εἰς τὸ Β. τῆς Νήσου κώμη ὀνομαζομένη Χωρεπίσκοποι.

᾿Ακολουθιῶν, ὧν πρῶτος ὑπάρχει ὡς εἴπομεν, ὁ ἀείμνηστος φιλόσοφος ἰατρὸς καὶ Θεολόγος Νικόλαος ὁ Βούλγαρις, ὅστις μεταξὺ πολλῶν ἄλλων συνέγραψε τὴν ἔκθεσιν περὶ τῆς ἀναμοκιδῆς τοῦ ῾Ιεροῦ Λειψάνου τοῦ ῾Αγίου Σπυρίδωνος ἀπὸ Κωνσταντινουπόλεως, τὴν ῾Ιερὰν Κατήχησιν, ἣν καὶ ἡμεῖς ἔναγχος ἐξέδομεν, καὶ τὰς ᾿Ακολουθίας τοῦ ῾Αγίου Σπυρίδωνος, τῶν ῾Αγίων ᾿Ιάσωνος καὶ Σωσιπάτρου καὶ τῆς ῾Αγίας Παρθενομάρτυρος Κερκύρας, καὶ τὴν τοῦ ῾Αγίου ᾿Αρσενίου(1) περὶ ὧν ἤδη ἐλέχθη. ῾Ο κλεινὸς οὗτος ἀνὴρ ἐγεννήθη μὲν ἐνταῦθα τῷ 1634, ἀλλ᾿ἀγνοεῖται τὸ ἔτος τῆς πρὸς Κύριον ἀποδημίας αὐτοῦ. Τούτου χεὶρ ἱερά, ἡ τοῦ ῾Ιερομνήμονος ᾿Αντωνίου Μάνεση, ἐτίμησε διὰ μακροῦ ἐλεγείου, οὗπερ οἱ τρεῖς πρῶτοι στίχοι εὐγλώττως ἐκφράζουσι τὴν ἀξίαν τοῦ ἀνδρός· ἔχουσι δ᾿ οὕτως:

«Αἰνέσατε Μοῦσαι Νικόλαον,
Κερκύρας γέννημα, ᾿Ιταλίας θρέμμα, ῾Ελλάδος καύχημα,
῎Ανδρα φερώνυμον νίκης ὁμοφυῆ ἀρετῆς» (2).

Δεύτερος δὲ ὁ ἀοίδιμος ἱερεὺς θεολόγος καὶ ζωγράφος τῆς ἐποχῆς αὐτοῦ ἄριστος, οὗτινος μὲν δεῖγμα τῆς θεολογίας ἡ πρὸς τὴν ῾Αγίαν Θεοδώραν τὴν βασίλισσαν ἀκολουθία, τῆς δὲ ζωγραφίας αἱ πλεῖσται εἰκόνες τῶν ἐν τῇ νήσῳ καὶ ἐνταῦθα ἐκκλησιῶν, αἵτινες σήμερον σώζονται, ἐστὶν ὁ ᾿Εμμανουὴλ Ζάνες, ὁ ἐπιλεγόμενος Μπουνιαλῆς, ὁ ἀπὸ Κρήτης, ἐφημέριος χρηματίσας ἐν τῇ ἐκκλησίᾳ τοῦ ῾Αγίου Γεωργίου ἐν Βενετίᾳ, ὅπου καὶ ἡμεῖς ἐπὶ 17 σχεδὸν ἔτη σὺν Θεῷ ἐφημερεύσαμεν, καὶ εἶτα μετοικήσας καὶ ἐν Κερκύρᾳ ἀποκατασταθείς, καὶ τὴν πρὸς τὴν ῾Αγίαν Θεοδώραν ἱερὰν ταύτην ᾀσματογραφίαν τῷ 1671, ὡς ἐσημείωσεν ἡμῖν ὁ κ. Λ. Βροκίνης, συντάξας.

῾Ο ἄλλος δὲ ὁ τὴν ἀκολουθίαν τοῦ ῾Αγίου Βλασίου ποιήσας, ἢ δικαιότερον εἰπεῖν, ὁ ἐκ διαφόρων τῆς ἐκκλησίας ὑμνῳδῶν συλλέξας, ὡς αὐτὸς οὗτος ὁμολογεῖ ἐν τῷ προλόγῳ τῆς ὑπ᾿ αὐτοῦ κατὰ τὸ 1786 ἐκδοθείσης ἀκολουθίας, ὁ Στυλιανός ἐστιν ἱερεὺς Κύτρακας Κερκυραῖος,

---

(1) Ταύτην ἀρχαίαν οὖσαν καὶ ὑπὸ διαφόρων μελοποιηθεῖσαν, τουτέστιν ὑπὸ τῶν Μητροπολιτῶν Κερκύρας Γεωργίου Χωνιάτου τῷ 1148, καὶ Γεωργίου Βαρδάνη τοῦ ᾿Αττικοῦ, τῷ 1228, καὶ ᾿Ιωάννου τινὸς ἱερέως, ὡς ἐνδείκνυται ἐν τοῖς τροπαρίοις τοῖς ὑπ᾿ αὐτῶν, ὁ ἡμέτερος Βούλγαρις διεσκεύασε καὶ ἐπηύξησεν.

(2) ῎Επιθι Κ. Σάθα Νεοελληνικὴν Φιλολογίαν, σελ. 341.



ὃς μάλιστα καὶ σημειοῖ ἐν τῷ ῥηθέντι προλόγῳ, ὅτι ὁ Ναὸς τῆς Μητροπόλεως ἐτιμᾶτο ἐπ᾿ ὀνόματι τοῦ ῾Αγίου Βλασίου ἀπ᾿ ἀρχῆς.

Δίδοντες πέρας εἰς τὰς βραχείας ταύτας ἡμετέρας σημειώσεις, μακαρίζομεν τοὺς ῥηθέντας ἀειμνήστους συγγραφεῖς, καὶ ὑψοῦμεν χεῖρας ἱκέτιδας, δεόμενοι τοῦ Κυρίου ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, ἵνα, ταῖς πρεσβείαις τῶν ῾Αγίων, ὧν ἐξύμνησαν τὴν ἀρετὴν καὶ ἐνεκωμίασαν τὰ κατορθώματα, κατατάξῃ τὰ πνεύματα αὐτῶν, ὅπου ἀνεκλάλητος ἡ χαρά, καὶ καθαρὸς ὁ ἦχος τῶν διηνεκῶς ἐν Οὐρανοῖς ἑορταζόντων καὶ βοώντων ἀπαύστως, ῞Αγιος, ῞Αγιος, ῞Αγιος ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ ῞Αγιον Πνεῦμα, ὁ εἷς Θεὸς ἡμῶν.

† ῾Ο Κερκύρας καὶ Παξῶν ΣΕΒΑΣΤΙΑΝΟΣ

᾿Εν Κερκύρᾳ τῇ 18 Μαρτίου 1909.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΑΘΑΝΑΣΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΜΗΤΡΟΠΟΛΙΤΗΣ ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΚΕΡΚΥΡΑΣ

Ἐπεξελθὼν τὴν ἀναφορὰν προσενεχθεῖσαν παρὰ τοῦ ἐλλογιμωτάτου κυρίου Ἀνδρέου Μαυρομμάτου ἐκ Κερκύρας, αἰτουμένου ἐπιτραπῆναί οἱ τὸ δεύτερον τύποις ἐκδοῦναι τὴν τῶν Ἁγίων Ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου ἱερὰν ἀκολουθίαν.

Θεωρῶν ὅτι ἡ ἀκολουθία αὕτη ἡ παρὰ τοῦ ἀοιδίμου Νικολάου τοῦ Βουλγάρεως ποιηθεῖσά τε καὶ ἐκδοθεῖσα ἐκ πολλοῦ μὲν σπανία περιέστη, τέως δὲ ὅλως ἐξέλιπεν.

Ἰδὼν ὅτι ἡ τῆς περὶ ἧς ὁ λόγος ἀκολουθίας νέα ἔκδοσις κρείσσων δήπου ἐστὶ τῆς προεκδοθείσης, ἅτε δὴ καὶ ἐκ τυπικῶν τινων καθαρθεῖσα ἁμαρτημάτων, καὶ πλεονάζουσα τῇ προσθήκῃ ἑτέρου βίου τῶν διαληφθέντων Ἁγίων Ἀποστόλων διεξοδικωτέρου καὶ πληρεστέρου ἐκ χειρογράφου τῆς ἐθνικῆς τῶν Παρισίων βιβλιοθήκης ἐξαχθέντος.

Θεωρῶν ὅτι ἡ τῆς ῥηθείσης ἀκολουθίας μετατύπωσις καθίσταται ἀναγκαία ταῖς ἐκκλησίαις τῆς νήσου ταύτης, ὀφειλούσαις ἀπαραιτήτως ἑορτάζειν καὶ δοξολογεῖν κατ᾽ ἔτος τὴν μνήμην τῶν εἰρημένων Ἁγίων, τῶν ὄντως Ἀρχιποιμένων καὶ Πρωτοκηρύκων τῆς ἡμῶν εὐσεβείας καὶ σωτηρίας.

Κρίνει μὲν ἀποδοχῆς ἀξίαν τὴν αἴτησιν ἐπιδοκιμάζων καὶ ἐπικυρῶν τῆς ἀκολουθίας τὴν μετατύπωσιν.

Τὸν δὲ κύριον Ἀνδρέαν Μαυρομμάτην, νέον πολυμαθείᾳ, καὶ ἤθεσι χρηστοῖς, καὶ ἐνθέρμῳ ζήλῳ πρὸς τὴν ἀμώμητον ἡμῶν θρησκείαν κατηρτισμένον, ἀρχιερατικαῖς εὐλογίαις καταστέφει, ἐφ᾽ ᾧ ἐπεβάλετο ἐπαίνου ἀξίῳ ἔργῳ, ἐπευχόμενος αὐτῷ θεόθεν ὑγίειαν μακρόβιον, ὅπως καὶ ἐς τοὐπιὸν φιλοτίμως ἐργάζηται πολυπλασιάζων τὸ ἐγκεχειρισμένον αὐτῷ τάλαντον, ἐπ᾽ ὠφελείᾳ τῆς Ἐκκλησίας καὶ τῆς πατρίδος.

Ἐκ τῆς Μητροπόλεως Κερκύρας
τῇ κγ΄. Αὐγούστου ͵αων΄. ε. α.

Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ ΚΕΡΚΥΡΑΣ ΑΘΑΝΑΣΙΟΣ
Ἱερεὺς Ἐλ. Παλατιανὸς Ἱερογραμματεύς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΝΔΡΕΑΣ ΜΑΥΡΟΜΜΑΤΗΣ

## ΠΑΣΙ ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΟΡΘΟΔΟΞΟΙΣ ΧΡΙΣΤΙΑΝΟΙΣ ΕΥ ΠΡΑΤΤΕΙΝ

Ἄξιον μέν ἐστι δήπου καὶ προσῆκον, τὰς τῶν ἁγίων μνήμας ὕμνοις καὶ δοξολογίας ἱεραῖς ὑπὸ παντὸς τοῦ Χριστωνύμου τιμᾶσθαι πληρώματος· διαφερόντως δ' ἑκάστη κατὰ μέρος ἐκκλησίᾳ ἐστὶν ὀφειλόμενον, τοὺς πρώτους ἐν αὐτῇ κήρυκας καὶ εὐαγγελιστὰς τῆς εἰς Χριστὸν πίστεως ἀναδειχθέντας γεραίρειν, καὶ τὴν τούτων ἐπικαλεῖσθαι πρεσβείαν· οἷοι δὴ παρ' ἡμῖν γεγόνασιν Ἰάσων καὶ Σωσίπατρος οἱ ἀπόστολοι. Διὸ καὶ ὁ ἀείμνηστος συμπολίτης ἡμῶν Νικόλαος ὁ Βούλγαρις, ἀνὴρ τήν τε ἔσω καὶ τὴν θύραθεν σοφίαν εὖ συγκεκροτημένος, καὶ τῆς πατρῴας εὐσεβείας ζηλωτὴς διάπυρος, ὡς πάντες ἴστε οἱ τῆς ἐκείνου πονήμασιν ἐντυχόντες, συνεπλήρωσε τὴν ἱερὰν ἀκολουθίαν τῇ μακαρίᾳ ταύτῃ ξυνωρίδι, καὶ τοῖς διὰ τοῦ κηρύγματος αὐτῶν πιστεύσασί τε καὶ τοῦ μαρτυρίου τὸν στέφανον ἀπενεγκαμένοις· ἣν καὶ ἐξέδοτο κατὰ τὸ αχοδ'. σωτήριον ἔτος σὺν ἑτέραις δυσί, ταῖς τῶν ἁγίων ἱεραρχῶν Σπυρίδωνος καὶ Ἀρσενίου, διὰ τῶν Ἑνετίῃσι πιεστηρίων Ἀνδρέου Ἰουλιανοῦ.

Ἀλλὰ δὴ ἐκλελοιπότων ἤδη ἐκ τοῦ πολλοῦ χρόνου τῶν ἀντιτύπων, οὐκ ἔτι πάρεστιν εὑρεῖν τὸ βιβλίον τοῖς προθυμουμένοις τοὺς ἁγίους ἑορτάζειν. Ἵν' οὖν μὴ παρὰ τοῦτο μάτην εἴη πεπονημένον τῷ Νικολάῳ, διενοήθην ἐκδοῦναι καὶ αὖθις τὴν ἀκολουθίαν, πειρώμενος διορθοῦν εἴ τι ἐδόκει ἡμαρτημένως ἔχειν· εἰς ὃ καὶ ἡ ὑπὸ τοῦ πανοσιωτάτου κυρίου Βαρθολομαίου ἔκδοσις τῶν Μηναίων ἔσθ' ὅπου συνεβάλετο. Ὅπως δὲ τὴν ἔκδοσιν τήνδε πληρεστέραν ποιήσω τὸ γ' ἐπ' ἐμοί, προστέθεικα καὶ δύο βίους μὴ κειμένους ἐν τῇ προτέρᾳ· τὸν μέν, τῶν ἁγίων μαρτύρων Ζήνωνος, Εὐσεβίου, Βιταλίου, καὶ Νέωνος, ἐκ τοῦ Μηνολογίου τοῦ ἐκδοθέντος κελεύσει τοῦ αὐτοκράτορος Βασιλείου τοῦ Πορφυρογεννήτου· οὗτινος προετάχθησαν, ἐκ τοῦ Συναξαριστοῦ, καὶ δύο ἴαμβοι εἰς τὸν Νέωνα· τὸν δέ, τῶν ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου, πολὺ τοῦ ἐν τοῖς Μηναίοις διεξοδικώτερόν τε καὶ λεπτομερέστερον, ὡς εἴσεσθε οἱ ἀναγνωσόμενοι. Ἦν δ' οὗτος ἀνέκδοτος ἐν χειρογράφῳ τῆς ἐθνικῆς τῶν Παρισίων βιβλιοθήκης· (κώδ. 1534.) ὃν ὁ κλεινὸς Ἀνδρέας ὁ Μουστοξύδης τῆτες μεταγραψάμενος καὶ ἐν πολλοῖς διορθώσας, κατεχώρισεν ἐν οἷς ἐκδίδωσι Κερκυραϊκοῖς· καί μοι ἡ τοῦ ἀνδρὸς φιλοφροσύνη ἐπέτρεψε μετὰ τῆς ἀκολουθίας δεύτερον τυπῶσαι.

Δοκεῖ δέ μοι καὶ πάνυ ἀρχαῖος ὁ βίος οὗτος, ἐκ τοῦ ὕφους συμβαλόντι· καὶ οὐκ ἂν ἀλόγως, οἶμαι, ὑποτοπάσειεν ἄν τις, ὅτι ὁ τὸν ἐν τῷ Μηναίῳ ὑπάρχοντα βίον Ἰάσωνος καὶ Σωσιπάτρου τῶν ἁγίων γράψας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ῆν ἀνεγνωκὼς τουτονὶ τὸν νῦν ἐκδιδόμενον· μᾶλλον δ᾽ ὅτι ὁ τοῦ Μηναίου βίος οὐκ ἔστιν, ἀλλ᾽ ἡ τούτου ἐπιτομή. Οὐχ ὅτι γὰρ ταῖς αὐταῖς πολλάκις κέχρηται λέξεσιν, ἀλλὰ καὶ ἔνθα φαίνεται διαφωνῶν, οὐ δυσχερὲς τὸ αἴτιον ἀνευρεῖν, ὡς ἐκ τῶν εἰρησομένων δῆλον γενήσεται. Εἰσὶν οὖν τὰ ἐν οἷς διαφωνεῖ τάδε. Α´. Ἐν τῷ τοῦ Μηναίου βίῳ ὁ ἅγιος Ἰάσων Ταρσεὺς λέγεται· ἐν δὲ τῷ ἑτέρῳ, Θεσσαλονικεύς. Ἀλλ᾽ ἴσως μὴ προσχὼν τούτῳ ὁ γράψας τὸν τοῦ Μηναίου βίον, ἀναγνοὺς δ᾽, ὅτι ὁ ***Ἰάσων τὴν τῆς Ταρσοῦ περιφανῆ μητρόπολιν κυβερνᾶν ἐμπεπίστευτο παρὰ Παύλου τοῦ ἀοιδίμου, ὡς οἰκείαν πατρίδα,*** ἐξέλαβεν οἰκείαν τοῦ Ἰάσωνος, δέον τοῦ Παύλου. Β´. Ὁ τρίτος καὶ ὁ ἕβδομος τῶν ἑπτὰ λῃστῶν ἐν μὲν τῷ τοῦ Μηναίου βίῳ καλοῦνται Φαυστιανὸς καὶ Μαμμῖνος· ἐν δὲ τῷ ἡμετέρῳ, Φαυστινιανὸς καὶ Μάμμιος. Ἀλλὰ περὶ ταύτης τῆς διαφορᾶς αἰτιατέον μᾶλλον, οἶμαι, τοὺς μεταγραφεῖς. Γ´. Ὁ δεσμοφύλαξ, κατὰ τὸν ἡμέτερον βίον, πρὸ τοῦ τμηθῆναι τὸν αὐχένα, ἐξεκόπη ἄμφω τὼ χεῖρε, πρῶτον τὴν δεξιάν, εἶτα τὴν εὐώνυμον καὶ τοὺς δύο πόδας. ὁ δὲ τοῦ Μηναίου βίος τῆς ἐκκοπῆς τῆς δεξιᾶς χειρὸς οὐ ποιεῖται μνείαν· ὅπερ ἔοικε μνημονικῷ ἁμαρτήματι. Δ´. Ἡ ἁγία Κερκύρα ἐν τῷ ἡμετέρῳ βίῳ λέγεται κρεμασθεῖσα, θειαφωδῶν καπνῶν ὑποβληθέντων καὶ κνίσης, τοξευθεῖσά τε καὶ λιθοβοληθεῖσα τετελειῶσθαι. ἐν δὲ τῷ Μηναίῳ οὐδεὶς περὶ βελῶν καὶ λίθων λόγος· ἀλλ᾽ οὖν ἐν τῇ ἰδιαιτέρᾳ μνήμῃ, τῆς ἁγίας κἀν τοῖς εἰς αὐτὴν ἰάμβοις ῥητῶς λέγεται βέλεσι κατατρωθεῖσα. Ε´. Κατὰ τὸ Μηναῖον, οἱ ἅγιοι Ἰάσων καὶ Σωσίπατρος ἐνεβλήθησαν ἀμφότεροι, εἰς τὸ πεπυρακτωμένον βουτίον· ὧν ἀφλέκτων διαφυλαχθέντων, τῶν ἀπίστων δὲ πολλῶν καταφλεχθέντων, ἐπίστευσαν εἰς Χριστὸν οἱ περὶ τὸν βασιλέα. ὡς δ᾽ ἐν τῷ ἑτέρῳ βίῳ, ὁ ἅγιος Σωσίπατρος μόνος ἐμβληθεὶς εἰς τὸ βουτίον ἐτελειώθη, τοῦ πυρὸς τὸ σῶμα αὐτοῦ οὐδὲν βλάψαντος. Ὅτι δ᾽ οὕτως ἔχει, ὁ δὲ τὸν ἐλάττω βίον συνταξάμενος ἐπελάθετο προσθεῖναι τὴν τοῦ Σωσιπάτρου τελευτήν, δῆλον ἀπὸ τοῦ μηκέτι μετὰ ταῦτα περὶ τοῦ Σωσιπάτρου μηδὲν εἰπεῖν, τὰ κατὰ τὸν Ἰάσωνα ἱστοροῦντα. Ἀλλὰ καὶ ὁ τοῦ κοντακίου ἄδηλος ποιητὴς τοῦτ᾽ αὐτό μοι αἰνίττεσθαι δοκεῖ ἐν οἷς προσαγορεύει τὸν ἅγιον Σωσίπατρον, ***Χριστοῦ μαρτύρων κλέος.***

Τοιαῦτα μὲν οὖν τὰ περὶ τὴν ἔκδοσιν· δέξαισθε δ᾽ ὑμεῖς ταύτην εὐμενῶς, μεμνημένοι τοῦ φιλοπονήσαντος. Ἔῤῥωσθε.

Ἐν Κερκύρᾳ ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ͵αων´.
μηνὸς Σεπτεμβρίου πέμπτῃ ἐπ᾽ εἰκάδι.

# ΜΗΝΙ ΑΠΡΙΛΙΩ ΚΘ´.

**Μνήμη τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων**
**ΑΠΟΣΤΟΛΩΝ**

# ΙΑΣΩΝΟΣ ΚΑΙ ΣΩΣΙΠΑΤΡΟΥ

**καὶ τῆς ἁγίας ἐνδόξου παρθενομάρτυρος**

# ΚΕΡΚΥΡΑΣ

*τῆς Βασιλίδος,*

*καὶ τῶν σὺν αὐτοῖς.*

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. ι´. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ´. καὶ τῶν ἁγίων ζ´. τὰ παρόντα.

Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐξ ἑῴας ἀνέτειλε, ξυνωρὶς ἡ ἀοίδιμος, Κερκυραίων σήμερον, καταυγάζουσα, πρὶν ἀπιστοῦσαν δυσσέβειαν, Διός τε λατρεύουσαν, Διονύσου καὶ Ἑρμοῦ, ψυχοφθόροις ἰνδάλμασιν, ἃ συνέτριψεν, ἡ δυὰς ἡ ἁγία μίαν δόξαν, τῆς Τριάδος μίαν φύσιν, προσκυνουμένην διδάξασα.

Ἐκκλησίας διδάσκαλοι, τῆς ἡμῶν πρώτως ὤφθησαν, Ἰάσων, Σωσίπατρος οἱ θαυμάσιοι, συγγενεῖς Παύλου γενόμενοι· καὶ Πνεύματος χάριτι, θεοπνεύστοις διδαχαῖς, κατεφώτισαν ἅπαντας, ἐν ὀνόματι, τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦ ἁγίου, ῥείθροις Πνεύματος ἐνθέοις, θεογνωσίας βαπτίζοντες.

Κερκυλλῖνον ὡς τύραννον, ἐν μυχοῖς βυθιζόμενον, θαλαττίοις σήμερον, καθοράτωσαν, καὶ ἀνενδότως εἰς ἄβυσσον, καταποντιζόμενον, καὶ στεῤῥῶς τῆς ἑαυτῶν, θαυμαζέτωσαν πίστεως, θείαν δύναμιν, Κερκυραῖοι Θεῷ τε τρισαγίους, κοσμοκράτορι τοὺς ὕμνους, σὺν τοῖς αὐτόπταις βοάτωσαν.

Γεηρᾶς ἀπολαύσεως, ἐβδελύξω τὸ πρόσκαιρον, καὶ τρυφὴν ἀδάπανον τὴν οὐράνιον, θεοπρεπῶς κατεπόθησας, Κερκύρα καὶ χάριτι, τῇ παντοκρατορικῇ, τῶν εἰδώλων τὸ φρύαγμα, κατηδάφισας, ἐν

Πατρὶ τὸν Υἱόν τε καὶ τὸ Πνεῦμα, ἑνιαίᾳ τῇ οὐσίᾳ, ἐν τοῖς ἀγῶσι κηρύξασα.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάντα κατελίπετε τερπνά, Χριστὸν ἀγαπήσαντες, οὗ τὰς ψυχὰς ἐκολλήθητε, ὀπίσω ἔνδοξοι ἤχθητε, Ἰάσων καὶ Σωσίπατρε πάνσοφοι ᾧ καὶ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἰάσων Σωσίπατρε ψυχήν, τὴν ἐμὴν φωτίσατε, ἐσκοτισμένην τοῖς πάθεσιν, οἱ τὸν περίγειον, διδαχαῖς ἐνθέοις, κόσμον καταλάμψαντες, καὶ σκότος τῶν εἰδώλων μειώσαντες, καὶ προσενέγκαντες, γένος ἅπαν τὸ ἀνθρώπινον, σεσωσμένον, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Χριστὸς ὁ Θεὸς ὑμᾶς σοφοί, Ἰάσων Σωσίπατρε, τοὺς πλανωμένους ἀπέστειλεν, ἀνακαλέσασθαι· καὶ πρὸς σωτηρίαν πάντας καθωδήγησεν, ὑμῶν τοῖς θεοσόφοις διδάγμασιν· ᾧ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος β΄.

Τοὺς θεοπνεύστους ποιμένας, καὶ παρ' ἡμῖν τῆς θεογνωσίας πρωτοκήρυκας, τοὺς φερωνύμους ἰατῆρας, καὶ τῇ πατρίδι σωτῆρας, εὐχαρίστως μακαρίσωμεν, Ἰάσωνα πιστοὶ καὶ Σωσίπατρον· τοὺς τῆς πολυθεΐας ἀναιρέτας· τὰς θεοφθόγγους τοῦ Πνεύματος σάλπιγγας· τοὺς Μωσαϊκῇ τῇ δυνάμει, ὡς Φαραὼ τὸν πάλαι, ὑποβρύχιον πιστοῖς, τὸν τυραννοῦντα ἀναδείξαντας· τοὺς ὄντως ἡμῖν προορισθέντας προστάτας, ὡς ἐν ὕδασι θείοις ἡμᾶς ἀνακαινίσαντας, τοὺς ὑπὲρ Κερκύρας σὺν Κερκύρᾳ, ἀδιαλείπτως πρεσβεύοντας, τῷ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Εἶπε Κύριος πρὸς Μωϋσῆν· Ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκαταστήτω τὸ ὕδωρ, καὶ ἐπικαλυψάτω τοὺς Αἰγυπτίους, ἐπί τε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας. Ἐξέτεινε δὲ



Μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας. οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ. Καὶ ἐξετίναξε Κύριος τοὺς Αἰγυπτίους εἰς μέσον τῆς θαλάσσης. καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν. καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης· τὸ δὲ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων. Καὶ ἐῤῥύσατο Κύριος τὸν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Εἶδε δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος τοῖς Αἰγυπτίοις. καὶ ἐφοβήθη ὁ λαὸς τὸν Κύριον, καὶ ἐπίστευσαν τῷ Θεῷ, καὶ Μωϋσῇ τῷ θεράποντι αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐξῆρε Μωϋσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ. καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ. καὶ οὐχ εὕρισκον ὕδωρ, ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μεῤῥάν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μεῤῥᾶς. πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες· Τί πόμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον. καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη. Καὶ ἦλθον εἰς Αἰλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων.

Ἀριθμῶν τὸ ἀνάγνωσμα.

Εἶπε Κύριος πρὸς Μωϋσῆν· Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς σὺ αὐτὸς οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν· καὶ ἄξεις αὐτοὺς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ, καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς. καὶ συναντιλήψομαι μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ. Καὶ ἐξῆλθε Μωϋσῆς, καὶ ἐλάλησε πρὸς τὸν λαὸν τὰ ῥήματα Κυρίου. Καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ ἐλάλησεν πρὸς αὐτόν, καὶ παρεί-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λατο ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους. Ὡς δὲ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα, καὶ προεφήτευσαν, καὶ οὐκ ἔτι προσέθεντο. Καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ· ὄνομα τῷ ἑνὶ Ἐλδάδ, καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ. καὶ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα. καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων, καὶ οὐκ ἦλθον εἰς τὴν σκηνήν, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ. Καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγειλε τῷ Μωϋσῇ, καὶ εἶπεν αὐτῷ, λέγων· Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. Καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυή, ὁ παρεστηκὼς Μωσεῖ, ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπε· Κύριε Μωϋσῆ, κώλυσον αὐτούς. Καὶ εἶπεν αὐτῷ Μωϋσῆς· Μὴ ζηλοῖς σύ μοι; καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς; Καὶ ἀπῆλθε Μωϋσῆς εἰς τὴν παρεμβολὴν αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ.

Εἰς τὴν Λιτήν, ἰδιόμελα, ἦχος β'.

Τοὺς ἐν Κερκύρᾳ ποιμένας, καὶ τοῦ εὐαγγελίου θείους κήρυκας, Ἰάσωνα καὶ Σωσίπατρον, τοὺς ἱεροὺς τοῦ Σωτῆρος ἀποστόλους, δουλικῶς ἀνευφημήσωμεν. καὶ πόθῳ τὰ αὐτῶν τίμια περιπτυσσώμεθα λείψανα, ἐν κατανύξει βοῶντες· Κύριε πρεσβείαις αὐτῶν τὴν πόλιν σου διεφύλαττε, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. β'.

Ἡ πάνσεπτος τῶν μαθητῶν τοῦ Χριστοῦ, ἐπεδήμησεν ἑορτὴ ἡμῖν τοῖς Κερκυραίοις. διὸ συνελθόντες χαρμοσύνως τούτους προσείπωμεν· Ἰάσων στεῤῥέ, Σωσίπατρε κλεινέ, σὺν τῇ ἐνδόξῳ καὶ θεοσεβεῖ Κερκύρᾳ, πάρεστε μέσον ἡμῶν ἀοράτως· καὶ ἀπωθοῦντες τὰ σκάνδαλα πάντα, καταξιώσατε ἡμᾶς βαθείας εἰρήνης. καὶ γὰρ ὡς πολιούχους ἡμῶν, καὶ ἐξαιρέτους μύστας, προβαλλόμεθα πρὸς Κύριον.

Ἦχος πλ. δ'.

Πάλαι μὲν αἱ παλάμαι Μωσέως, τοῖς τοῦ Ἰωσὴφ ὀστέοις, ὡς ταῦτα βαστάζουσαι, μείζονος δόξης ἠξιώθησαν. πρέπει γὰρ τὰ ἅγια τοῖς ἁγίοις, καὶ τῷ καθαρῷ τὸν καθαρὸν ὡς θέμις ἐφάπτεσθαι. ἐγὼ δὲ τίς εἰμι Κύριε; καὶ τίς ἡ περὶ ἐμὲ πολλή σου μακροθυμία; οὐ γὰρ καταφλέγομαι φέρων, χερσὶν ἀνάγνοις τοσοῦτον εἰλικρινῆ θη-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



σαυρόν. Θησαυρὸς γὰρ θαυμάτων τὰ λείψανα, τῶν τῆς Κερκύρας ἀποστόλων, Σωσιπάτρου καὶ Ἰάσωνος, καὶ πηγὴ ἀνεξάντλητος. Διό σε ἱκετεύω ὁ ἀχρεῖος δοῦλός σου φιλάνθρωπε· φρούρησον ἁγίασον, καὶ ποιμένα καὶ ποίμνιον, τοὺς ἐκ πόθου ἑορτάζοντας, τὸ φωταυγὲς μνημόσυνον τῶν πολιούχων ἡμῶν.

Ὁ αὐτός.

Μετὰ τὸ κληθῆναί σε πρὸς πίστιν τὴν σωτήριον, τῆς ἐκλογῆς σκεῦος Παῦλε, τοῦ καθοδηγῆσαι ἔθνη Θεὸν μὴ εἰδότα πρὸς θεογνωσίαν, τότε καὶ ξυνωρὶς οὐρανόθεν, συνήρμοσταί σοι ἀποστόλων ὁμότροπος, Ἰάσων ὁμοῦ καὶ Σωσίπατρος. οἱ ἐν Κερκύρᾳ τὸ πνεῦμα δεδηλωκότες, καὶ δι' αὐτοῦ ἡμῖν, τὸ τῆς σεπτῆς Τριάδος σέβας διατάξαντες, υἱοὺς ἀνέδειξαν τῆς Βασιλείας τῶν οὐρανῶν.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α'.

Πανυπέρλαμπρος ἡμέρα καὶ χαρμόσυνος, τοῖς Κερκυραίοις ὤφθη τὰ νῦν ἡ πανήγυρις. Ἰάσων ἀδελφοὶ καὶ Σωσίπατρος, ἡμᾶς τὴν ἀμώμητον τοῦ Χριστοῦ, οἰκονομίαν ἐμύησαν ᾄδοντες· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν μνήμασι ζωὴν χαρισάμενος.

Εἰς τὸν Στίχον, πρῶτον τὸ Ἀναστάσιμον τοῦ τυχόντος ἤχου, εἶτα τὰ παρόντα προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἐν οὐρανίοις θαλάμοις περιπολεύοντες, φρουρήσατε Ἰάσων, καὶ Σωσίπατρε πάντας, τοὺς νῦν τὴν ὑμῶν μνήμην περιχαρῶς, ἐκτελοῦντας ἀπόστολοι· καὶ τὴν ἡμῶν πολιτείαν ἐπιδρομῆς, ἀλλοφύλων ἐκλυτρώσασθε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἀγαλλιάσθωσαν πάντες, συνευφραινέσθωσαν, οἱ Κερκυραίων παῖδες, ἐν τῇ μνήμῃ Κερκύρας, αὐτῶν τῆς βασιλίδος τῆς ἀκραιφνῶς, τὸ Χριστώνυμον κήρυγμα, τοῦ Σωσιπάτρου λαβούσης πανευσεβῶς, Ἰάσωνός τε τὰ διδάγματα.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τοὺς Κερκυραίων πρωτάθλους καὶ συμπολίτας ἡμῶν, τοὺς πρωτομύστας πάντων, τῶν ἐν πόλει Κερκύρᾳ, Μαρσάλιον τὸν θεῖον, Εὐφράσιον νῦν, Σαρτονῖνον, Μαμμῖνόν τε, Ἰανουάριον πάντες, Φαυστιανόν, Ἰακίσχολον τιμήσωμεν.

Δόξα. Ἦχος γ΄.

Μέγα ἦν κατιδεῖν, τὸν Σεβαστιανοῦ παῖδα ἐκ νεκρῶν ἀνιστάμενον, καὶ Κερκυραίων δῆμον τὴν εἰδωλομανίαν ἀποθέμενον. τότε μετεβλήθη ἡ πολυθεΐα εἰς πίστιν τὴν εἰς ἕνα Θεόν· καὶ σὺν τῷ βασιλεῖ διεσώζοντο οἱ ἐν Κερκύρᾳ πάντες, βαπτιζόμενοι οὐκ ἐν ὕδασι πνιγηροῖς, μετὰ Κερκυλλίνου τοῦ παράφρονος, ἀλλ' ἐν πνεύματι ἁγίῳ καὶ πυρί. Ὢ φρικτῆς ἀναγεννήσεως, ὢ θείας μεταμορφώσεως. οὐκ ἔτι τὸ πῦρ καταναλίσκον ἦν, τῶν τυραννούντων εἰς τιμωρίαν, ἀλλὰ φῶς θεολογούντων εἰς σωτηρίαν. εἱρκταὶ ἠνοίγοντο, καὶ δεσμὰ διελύοντο, καὶ μακάριος ὃς ἂν ὁμολογήσῃ Θεὸν σεσαρκωμένον, τὸν ἤδη βλασφημούμενον. Μεγάλη σου τῶν ἀποστόλων Κύριε, ἡ δύναμις.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπολυτίκιον τῶν ἀποστόλων.

Ἀπόστολοι ἅγιοι Ἰάσων καὶ Σωσίπατρε, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. Τῆς ἁγίας. Ἦχος ά.

Ἐν Κερκύρᾳ Κερκύρα ὄντως ὤφθης πολύαθλος, καὶ τερατουργοῦσα παρθένος, τὸν δρόμον μάρτυς τετέλεκας. πατέρα ἀπηρνήσω δυσσεβῆ, καὶ ἄλλον σὺ ἐκτήσω τὸν Χριστόν. καὶ Κερκυραίων πλείστους, πρὸς ἀληθῆ σοφίαν, εἵλκυσας τῇ πίστει σου. Δόξα τῷ δεδωκότι σοι ἰσχύν. δόξα τῷ σὲ στεφανώσαντι. δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν, Τῆς ἑορτῆς, Καὶ Ἀπόλυσις.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν ά. στιχολογίαν, κάθισμα πρῶτον τὸ ἀναστάσιμον. εἶτα τῶν ἀποστόλων.

Δόξα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Συνέλθωμεν νυνί, Κερκυραίων ὁ δῆμος, ὡς ὄντες ὀπαδοί, συγγενῶν τῶν τοῦ Παύλου, αὐτοῖς τε ἐκτελέσωμεν, τὴν ἡμέραν ἑόρτιον. καὶ γὰρ ἅπαντες, καθηγητὰς τούτους ἴσμεν, ὡς ζωγρήσαντας, σωτηριώδη πρὸς πίστιν, ἡμᾶς τῷ βαπτίσματι.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὴν 6΄. στιχολογίαν, κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Νῦν Κερκύραν ἐν ὕμνοις περιχαρῶς, ὥσπερ ἄνθεσι στέψωμεν μυστικοῖς, τοῖς πᾶσιν ἐκλάμψασαν, παρθενίας λαμπρότησιν· Αἰθίοπός τε κῶμον, εἰς σύνεσιν τρέψασαν, καὶ τοῦ πυρὸς ἐν μέσῳ, ὑπάρξασαν ἄφλεκτον· καὶ ἐπὶ τοῦ ξύλου κρεμασθεῖσαν γενναίως, καπνοῦ τε πρὸς βάσανον, πνιγηροῦ καρτερώτατα, μέχρι τέλους ἐμμείνασαν· καὶ πρεσβεύουσαν Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην αὐτῆς.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλεον, κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θαῦμα μέγιστον, πῶς μετεβλήθη, λαὸς ἄπιστος, εἰς πίστιν θείαν· καὶ τῶν εἰδώλων καθαιρέτης γενόμενος, ναοὺς εἰς δόξαν Θεοῦ ἀνεδείματο, ταῖς διδαχαῖς τοῦ ἐνθέου Ἰάσωνος, Σωσιπάτρου τε. Διὸ ἐν πίστει Χριστὸν μεγαλύνοντες, τὴν ὑμῶν μνήμην τιμῶμεν ἀπόστολοι.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς, ἢ τὸ παρὸν Θεοτοκίον.

Θαῦμα μέγιστον, πῶς συνεσχέθη, ὁ ἀχώρητος, ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου θεότητος, Κόρη πάναγνε. διὸ Θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Οἱ ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον, ἦχος δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Ζήτει Νοεμβρίου Η'.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Δόξα. Ταῖς τῶν Ἀποστόλων.

Καὶ Νῦν. Ταῖς τῆς Θεοτόκου.

Καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Καὶ οἱ κανόνες, τῆς ἑορτῆς εἰς ς'. καὶ τῶν ἁγίων εἰς ή.

Ὁ κανὼν τοῦ Μηναίου.

Ὠδὴ ά. Ἦχος β'. Δεῦτε λαοί.

Τῷ τοῦ Χριστοῦ, βήματι νῦν παριστάμενοι, μνείαν ἡμῶν ἀπόστολοι, ποιεῖσθε πάντοτε, τῶν ὑμᾶς εὐφημούντων· ἐλάβετε γὰρ χάριν, πρεσβεύειν ὑπὲρ ἡμῶν.

Δυὰς σεπτή, τῶν ἀποστόλων αἰτήσασθε, Χριστὸν τὸν πανοικτίρμονα, χάριν δοθῆναί μοι, τοῦ ὑμᾶς εὐφημῆσαι, καὶ μέλψαι τοὺς ἀγῶνας, ὑμῶν πανόλβιοι.

Μύσται Χριστοῦ, Ἰάσων ὦ παμμακάριστε, καὶ πάνσοφε Σωσίπατρε, τοὺς τὴν σεπτὴν ὑμῶν, ἑορτάζοντας μνήμην, παντοίων ἐκ κινδύνων, ἀπολυτρώσασθε.

Θεοτοκίον.

Χαῖρε σεμνή, τῶν δωρημάτων ἡ ἄβυσσος· χαῖρε λιμὴν ἀχείμαστε· χαῖρε ὀχύρωμα, τῆς ἡμῶν σωτηρίας, παρθένε Θεοτόκε, μόνη πανύμνητε.



Κανὼν ἕτερος τῶν ἁγίων, φέρων ἀκροστιχίδα·

Τοιάδε Νικόλεως Βούλγαρις ἠδὲ Φαίαξ.

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Τερατουργίαις, φωτισθεῖσα σήμερον, ἡ Κερκυραίων πληθύς, ταῖς τῶν ἀποστόλων, ᾠδὴν χαριστήριον, Κυρίῳ προεξάρξωμεν. καὶ γὰρ πλάνης εἰδώλων, τῆς ὀλεθρίου ἐῤῥύσθημεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντες.

Τῆς ἁγίας.

Οἱ ἐν Κερκύρᾳ, συνηγμένοι σήμερον, Κερκύρας παῖδες σεπτῶς, τὴν Κερκύρας μνήμην, φαιδρῶς ἑορτάσωμεν. Κερκύρα γὰρ κατήσχυνε, βασιλέως Κερκύρας, εἰ καὶ πατρὸς τὸ πολύθεον, ᾆσμα τῷ Θεῷ ἀναμέλπουσα.

Δόξα.

Ἰάσων σέβειν, σὺν Πατρὶ καὶ Πνεύματι, προσωπικῶς τὸν Υἱόν, οὐσιωδῶς μίαν, φύσιν ἀδιαίρετον, φύσιν ἀκατανόητον, πάντας τοὺς ἐν Κερκύρᾳ, Σωσίπατρός τε ἐδίδαξαν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντας.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπειρογάμως, συλλαβοῦσαν Δέσποινα, πάντες πιστεύομεν, σοῦ τὴν θείαν μήτραν, καὶ σαρκὶ τὸν ἄσαρκον, ἀνερμηνεύτως τέξασαν, Σωσιπάτρου τοῦ θείου, Ἰάσωνός τε τοῖς ἴχνεσιν, ἐπακολουθοῦντες πανάχραντε.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Τοῦ Παύλου φοιτηταὶ σοφοὶ γενόμενοι, κατ' ἴχνος ἐκείνου τε πορευθέντες, διεδράμετε τὰ σύμπαντα, τὸν σωτήριον λόγον καταγγέλλοντες.

Ὡς θεῖοι ποταμοὶ σοφίας ἔνδοξοι, ναμάτων πληροῦτε τῶν σωτηρίων, ἐκκλησίας τὰ συστήματα, ἐκ πηγῶν σωτηρίου ῥεῖθρα βλύζοντες.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Παντοίων ἀναγκῶν καὶ περιστάσεων, τοῦ βίου πρεσβείαις ὑμῶν ἁγίαις, θεοφόροι κυβερνήσατε, τοὺς ὑμᾶς νῦν τιμῶντας διασώζοντες.

Θεοτοκίον.

Ὁ κλίνας οὐρανοὺς τῇ ὑπὲρ ἔννοιαν, κενώσει τὴν σάρκα ἐκ σοῦ πτωχεύει, προσλαβόμενος Θεόνυμφε, καὶ τὸν κόσμον πλουτίζει τῇ θεότητι.

Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς.

Δαιμονικῶν μεθοδειῶν, παγίσι πολυθείας, τοὺς πρὶν ἡμᾶς οἰκτρῶς ἐνειλημμένους, ἠλευθέρωσε Θεός, ὁ πάντων προνοούμενος, διδασκαλίαις θείαις, ὑμῶν ἀπόστολοι πάνσοφοι.

Τῆς Ἁγίας.

Ἐκ σοῦ ἐγνώρισται ἡμῖν, τῆς σωτηρίας ἡ τρίβος. ἀπαρχὴ γὰρ τῆς πατρίδος ἐγένου, ὦ Κερκύρα βασιλίς, καὶ ποδηγὸς σωτήριος, δεῖγμα λιποῦσα πᾶσι, σὴν ὑπὲρ νοῦν καρτερότητα.

Δόξα.

Νῦν ὑμνῶ Λόγον γεννητόν, νῦν ἄναρχον τὸν Πατέρα, ἐκπορευτὸν τὸ πανάγιον Πνεῦμα, χαρακτῆρσιν ἐν τρισίν, ἀμέριστον θεότητα, ὥς μοι Ἰάσων πάλαι, Σωσίπατρός τε ἐκήρυξαν.

Καὶ νῦν. Θεοτοκίον.

Ἴσθι τεκοῦσαν ἀληθῶς, Μαρίαν δυσὶν οὐσίαις, ἐν μιᾷ δὲ ὑποστάσει τὸν ἕνα, υἱὸν Λόγον τοῦ Θεοῦ, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον. ὡς οἱ κλεινοὶ θεόπται, Πνεύματι θείῳ ἐθέσπισαν.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου σωτήρ.

Ἰάσωνα πιστοί, καὶ Σωσίπατρον ὕμνοις, ὡς μύστας ἱερούς, τῆς ἁγίας Τριάδος, καὶ κήρυκας τῆς πίστεως ἐπαξίως τιμήσωμεν, ὅπως λάβωμεν, ταῖς παρακλήσεσι τούτων, πάντες ἔλεος, καὶ χάριν εὕρωμεν θείαν, εἰς εὔκαιρον βοήθειαν.



Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε, τὴν ἀκοήν.

Τοῦ Χριστοῦ τῷ ὀνόματι, θαυματουργοί, τελοῦντες τὰς ἰάσεις, πρὸς Θεοῦ τὴν πίστιν λαοὺς εἱλκύσατε.

Καὶ ποιμαίνειν μακάριοι, καὶ ὁδηγεῖν, ὑμᾶς καὶ μετὰ τέλος, τὸ μικρὸν πιστεύομεν τοῦτο ποίμνιον.

Συγγενόμενοι ἔνδοξοι, πνευματικῶς, πρεσβείας συμπολίταις τὰς χρηστάς, φιλίας νόμῳ παράσχοιτε.

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ

Θεοτοκίον.

Ταῖς πρεσβείαις δεόμεθα, τῆς σὲ σαρκί, τεκούσης Θεοῦ Λόγε, τῷ λαῷ σου δώρησαι τὰ ἐλέη σου.

Ἄλλος. Σύ μου ἰσχύς, Κύριε.

Καταβαλών, σῶν μαθητῶν τοῖς διδάγμασιν, ἐν Κερκύρᾳ, πᾶσαν κατηδάφισας, δαιμονικὴν πλάνην τοῦ ἐχθροῦ, καὶ θεογνωσίας, τοῦ ὕψους πάντας ἠξίωσας. διό σε ὡς σωτῆρα, καὶ δεσπότην ὑμνοῦμεν, προσκυνοῦντες τὴν σὴν συγκατάβασιν.

Τῆς Ἁγίας.

Ὅλη Θεοῦ, σκεῦος Κερκύρα γεγένησαι, τοῦ δι' οἶκτον, ὅλον τὸ ἀνθρώπινον, ἀναλαβόντος δημιουργοῦ· ὅθεν τὰς εἰδώλων, θυσίας καὶ τὴν δυσσέβειαν, ἀπώσω τὴν πατρῴαν, καὶ προείλου προθύμως, συνθανεῖν τῷ Χριστῷ καὶ ζῆν ἄληκτα.

Δόξα.

Λέγω σε φῶς, ἄδυτον ἓν καὶ τρισήλιον, ὡς οὐσίαν μίαν παντεπίσκοπον, προσκυνουμένην μορφῇ τριττῇ, τὴν καὶ ἀπροσίτως, πάντα βροτὸν καταυγάζουσαν, ἐρχόμενον εἰς κόσμον, Σωσιπάτρου ὑπείκων, καὶ Ἰάσωνος θείοις διδάγμασι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καὶ νῦν. Θεοτοκίον.

Ενα μορφῇ, τῇ βροτησίᾳ σε τέξασαν, τῆς Τριάδος, τὸν καὶ ταύτην σώσαντα, Κόρη φθορᾶς τῆς σατανικῆς, καθομολογοῦμεν, τῆς πρὶν ἀπάτης τὸν καύσωνα, ἀπώσαντες, ἐνθέως, διὰ τῶν ἀποστόλων, τῇ μεθέξει τοῦ θείου βαπτίσματος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ιερουργοὶ τοῦ Χριστοῦ, τῶν μυστηρίων εὐκλεεῖς ὤφθητε, καὶ κοινωνοί, σοφοὶ τῶν ἐκείνου, ἁγίων τε παθῶν. διὸ ἐπαξίως ἀεὶ μακαρίζεσθε.

Ως οὐρανοὶ λογικοί, τοῖς ἐπὶ γῆς τὴν τοῦ Θεοῦ ἅγιοι, δόξαν τρανῶς, φθεγγόμενοι ζόφον, ἐξήρατε δεινόν, καὶ θεογνωσίας, τὸν κόσμον ἐπλήσατε.

Ταῖς ἱκεσίαις τῶν σῶν, ἱερωτάτων μαθητῶν Κύριε, σῶσον ἡμᾶς· ἡμεῖς γὰρ λαός σου, καὶ πρόβατα νομῆς, καὶ φόβῳ σε πάντες, ὑμνοῦντες δοξάζομεν.

Θεοτοκίον.

Εν γενεαῖς γενεῶν, εὐλογημένη καὶ ἁγνὴ πέφυκας, ὡς τὴν ἀράν, τῷ θείῳ σου τόκῳ, νεκρώσασα τὸ πρίν, καὶ τὴν εὐλογίαν, τῷ κόσμῳ πηγάσασα.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ως Θεὸν ἐγνωκότες, σήμερον ὑπέρλαμπρον, φωτοειδέστατον, μνήμην τὴν ἁγίαν, τῶν σοφῶν ἀποστόλων τελέσωμεν, ὡς ἀξιωθέντες, θεοσεβοῦς χάριτος πάντες, ταῖς αὐτῶν ἱεραῖς εἰσηγήσεσιν.

Τῆς Ἁγίας.

Σωτηρίας Κερκύρα, Κερκυραίοις πρόξενος, ὤφθης πανεύφημε, ἔρωτι τρωθεῖσα, γλυκυτάτῳ τοῦ ὄντως νυμφίου σου, ἀρραγεῖ τε γνώμῃ, καὶ ἀνδρικῇ τῇ καρτερίᾳ, πατρικὴν ἀφροσύνην ἐλέγξασα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Δόξα.

Βασιλείας ἀνάρχου, ἄτμητον ἀσύγχυτον, καὶ ἀδιαίρετον, σέβω τὴν οὐσίαν, προσκυνῶν ἐν τρισὶν ὑποστάσεσι· ταύτῃ τε λατρεύων, Πατέρα, Λόγον, καὶ τὸ Πνεῦμα, καὶ ἑνοῦν καὶ μερίζειν οὐ δέδοικα.

Καὶ νῦν. Θεοτοκίον.

Ο προγνοὺς σε δοχεῖον, πάντων καθαρώτατον, σοὶ ἐνεσκήνωσε, σαρκωθεὶς ἐκ μήτρας, ἀπειράνδρου τῆς σῆς παναμώμητε, ἀρχὴν εἰληφώς τε, καί περ ἀνάρχῳ θείᾳ φύσει, ἐκ πατρὸς πρὸ αἰώνων γεγέννηται.

Καταβασία. Ὀρθρίσωμεν ὄρθου βαθέος.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτημάτων.

Οπλον σε οἱ θεηγόροι, ἀπόστολοι κεκτημένοι, τὴν τῶν ἐναντίων εὐσθενῶς, παράταξιν ἔτρεψαν, ὡς ἄριστοι, στρατιῶταί σου Λόγε.

Εκράτυναν τὴν ἐκκλησίαν, Σωσίπατρος καὶ Ἰάσων, ἱερολογίαις ἱεραῖς, ὡς ἔνθεοι ῥήτορες, καὶ κήρυκες, καὶ Θεοῦ ἱεράρχαι.

Εκύκλωσαν ἡμᾶς ἀνάγκαι, καὶ θλίψεις δι' ἁμαρτίαν. ἀλλὰ παρακλήσεσι σεπταῖς, τῶν ἀποστόλων σου, ἐλέησον, ὁ Θεὸς τοὺς σοὺς δούλους.

Θεοτοκίον.

Μακάριος ὁ σὲ γινώσκων, λαὸς ἁγνὴ Θεοτόκε. ἐν γὰρ τοῦ Υἱοῦ σου τῷ φωτί, πᾶς τις πορεύεται, σωζόμενος, εἰς αἰῶνας αἰώνων.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Υψους σοφίαν ἡμῖν, τοῖς Κερκυραίοις ἐξέχεεν, ὁ ὕψιστος δαψιλῶς· καὶ φάρυγγος δράκοντος, τῇ πίστει ἐξείλκυσε, τοῦ θανατηφόρου, χάριν ἄφθονον δωρούμενος.

Τῆς Ἁγίας.

Λύσασα κράτος ἐχθρῶν, εἰδώλων τε τὸ πολύθεον, Κερκύρα πανουργική, δυνάμει τοῦ Πνεύματος, βασιλείαν ἄφθαρτον, ἀντὶ τῆς προσκαίρου, ἐκληρώσω δι' ἀθλήσεως.

Δόξα.

Γεννᾷ Πατὴρ τὸν Υἱόν, ὁμοῦ καὶ Πνεῦμα συνάναρχον, ἐκπορευτῶς δι' Υἱοῦ, προβάλλων οὐ παύεται, ὡς ὢν πηγὴ γόνιμος, τῶν προβαλλομένων, κατ' ἐκπόρευσιν καὶ γέννησιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀρτίως ἔγνω κευθμών, ὁ τῶν νεκρῶν ὃν προέγνωσαν, ἐξαναστάντα γραφαῖς, προφῆται πανάμωμε· καὶ λάτρις ἐγένετο, σοῦ Υἱοῦ ὡς ἔφη, σὺν Ἰάσωνι Σωσίπατρος.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον τῆς ἁγίας. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Βασιλείας ἔτυχες, ἐπουρανίου, τὰ τῆς γῆς βασίλεια, περιφρονήσασα στεῤῥῶς, Κερκύρας ἄνασσα πάνσεμνε, παρθενομάρτυς Κερκύρα πολύαθλε.

Τῶν ἁγίων. Ἦχος β'. Χειρόγραφον εἰκόνα.

Τοῖς δόγμασι τοῦ Παύλου καταυγασθέντες, γεγόνατε φωστῆρες τῆς οἰκουμένης, τρισμακάριοι. καταυγάζετε γὰρ ἀεὶ κόσμον θαύμασιν, Ἰάσων, ἡ πηγὴ τῶν ἰαμάτων, Σωσίπατρε, Χριστοῦ μαρτύρων κλέος. Ἀπόστολοι θεοφόροι, προστάται τῶν ἐν ἀνάγκαις, καθικετεύσατε Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ὑμῶν.

Ὁ οἶκος.

Ἀπόστολοι θεηγόροι, καὶ κήρυκες εὐσεβείας, διδάσκαλοι καὶ προστάται εὐσεβούντων ἀεισέβαστοι, παρεστηκότες Θεῷ, καὶ φωτὸς θείου πληρούμενοι, καὶ στεφάνοις ἐγκοσμούμενοι, φωτίσατε ἡμᾶς δεόμεθα, γεραίρειν τὴν ὑμῶν πανέορτον πανήγυριν, ἐν εὐφήμοις ὑμνῳδίαις εὐσεβῶς. πάντες γὰρ ἐσμεν ποίμνιον ὑμῶν, λυτρωθέντες τῆς πλάνης ἐν χάριτι· ἀλλ' ὡς ὄντες σωτῆρες τῶν πιστῶν, σπεύσατε πρὸς τὸν Κτίστην πρεσβεύειν παῤῥησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Τῷ αὐτῷ μηνὶ κθ'. Μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ἰάσωνος καὶ Σωσιπάτρου (1)

Στίχοι.

Ζωῆς Ἰάσων λαμβάνει φθαρτῆς πέρας,
ἀλλ' εὗρεν ἄλλην μὴ πέρας κεκτημένην.

Θανόντι δόξαν σοῦ προσώπου δεικνύεις
σῷ Σωσιπάτρῳ τοῦ Θεοῦ Λόγου πάτερ.
Εἰκάδι ἀμφ' ἐνάτῃ Ἰάσων ἀπεβήσατο γαίης.

Τούτων ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν, ὃς καὶ πρῶτος ἐκεῖθεν ζωγρεῖται πρὸς τὴν εὐσέβειαν· Σωσίπατρος δέ, ἐξ Ἀχαΐας ὁρμώμενος, μετὰ τοῦτον τὴν εἰς Χριστὸν πίστιν ἐδέξατο. ἀμφότεροι δὲ μαθηταὶ χρηματίσαντες Παύλου τοῦ ἀποστόλου, ὁ μὲν Ἰάσων τῆς ἰδίας πόλεως διδάσκαλος καθίσταται· ὁ δὲ Σωσίπατρος τῆς Ἰκονιέων ἐκκλησίας τοὺς οἴακας δέχεται. Οὗτοι τὰς ἐκκλησίας αὐτῶν καλῶς ποιμάναντες, τὰ ἑσπέρια καταλαμβάνουσι. καὶ τῇ Κερκυραίων ἐπιδημήσαντες νήσῳ, ναὸν περικαλλῆ ἀνεγείρουσι Στεφάνῳ τῷ πρωτομάρτυρι ἔνθα τῷ Θεῷ λειτουργοῦντες, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσαντο πίστιν. Διαβληθέντες δὲ Κερκυλλίνῳ τῷ βασιλεῖ, φρουρᾷ ἐγκλείονται, ἐν ᾗ ἑπτὰ λήσταρχοι ὑπῆρχον ἐγκεκλεισμένοι, ὧν αἱ προσηγορίαι εἰσὶν αὗται· Σατορνῖνος, Ἰακίσχολος, Φαυστιανός, Ἰανουάριος, Μαρσάλιος, Εὐφράσιος, καὶ Μαμμῖνος. οὓς, δι' ὧν εἶπον καὶ ἐποίησαν, πρὸς τὴν εἰς Χριστὸν μετήνεγκαν πίστιν, πρόβατα ἀντὶ λύκων ἐργασάμενοι. Οἵτινες μετὰ ταῦτα ἐν λέβησι πεπληρωμένοις πίσσης καὶ θείου καὶ κηροῦ βληθέντες, τοὺς τῆς μαρτυρίας στεφάνους παρὰ Χριστοῦ ἐκομίσαντο. Καὶ ὁ δεσμοφύλαξ ὡσαύτως, πιστεύσας εἰς Χριστόν, τὴν εὐώνυμον χεῖρα καὶ τοὺς δύο πόδας ἐκκοπείς, τέμνεται καὶ τὸν αὐχένα, τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Τοὺς δὲ ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον τῆς φυλακῆς ἐξαγαγὼν ὁ βασιλεύς, Καρ-

(1) Τὸ συναξάριον τοῦτο ἐλήφθη ἐκ τοῦ Μηναίου, ὁ δ' ἑπόμενος τῶν Ἁγίων βίος εὕρηται ἐν τοῖς ὑπὸ τοῦ Μουστοξύδου κερκυραϊκοῖς, ἐν τῇ Appendice ἐν σελ. XI, ἐξαχθεὶς ἐκ τοῦ ὑπ' ἀριθ. 1,534 χειρογράφου τῆς ἐν Παρισίοις Βιβλιοθήκης († ὁ Κερ. Σεβ.)

πιανῷ τῷ ἐπάρχῳ τιμωρεῖσθαι ἐκδίδωσιν. ὃς τούτους ἐρωτήσας, αὖθις
τῇ εἱρκτῇ δεσμεύσας ἀπέῤῥιψεν. Ἰδοῦσα δὲ αὐτοὺς οὕτω δεδεμένους
Κερκύρα ἡ τοῦ βασιλέως θυγάτηρ, καὶ μαθοῦσα, ὅτι διὰ τὸν Χριστὸν
πάσχουσι, Χριστιανὴν ἑαυτὴν ἀνηγόρευσε· καὶ τὸν κόσμον, ὅνπερ ἐφό-
ρει, πένησι δέδωκε. Τοῦτο μαθὼν ὁ πατὴρ αὐτῆς, ἐπεὶ οὐκ ἠδυνήθη
τοῦ σκοποῦ μεταστρέψαι αὐτήν, εἱρκτῇ κατακλείει, καὶ Αἰθίοπί τινι
ἀσώτῳ εἰς διαφθορὰν ἐκδίδωσιν. Ὡς δὲ τῇ θύρᾳ τῆς φυλακῆς προσήγ-
γισεν, ὑπὸ θηρίου διεσπαράχθη. ἡ δέ, τοῦτο μαθοῦσα, ἰάσατο αὐτόν,
καὶ τοῦ θηρὸς λυτροῦται. καὶ δι' ὧν πρὸς αὐτὸν διεξῄει, Χριστιανὸν
αὐτὸν ἀπειργάσατο· καί, Μέγας ὁ τῶν Χριστιανῶν Θεός, ὁ Αἰθίοψ
ἀνεβόησεν. ὃς αὐτίκα ὑπὸ τοῦ τυράννου δεινῶς βασανισθείς, τοῦ βίου
μεθίσταται. Περὶ δὲ τὴν φρουρὰν ξύλα ἐνέγκαντες οἱ στρατιῶται ὑφῆ-
ψαν, τὴν μάρτυρα κατακαῦσαι πειρώμενοι. Τούτου δὲ γενομένου, καὶ
ἄφλεκτος διαμείνασα, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν μετεκαλέσατο
πίστιν. Διὰ τοῦτο ξύλῳ ἀναρτᾶται, καὶ καπνῷ πνιγηρῷ ὑποβάλλεται
ἐπὶ τοσοῦτον, ἕως τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο. Μετὰ ταῦτα
διωγμὸν κατὰ τῶν Χριστιανῶν κινήσας ὁ βασιλεύς, καὶ τῶν ἁγίων ἐν
παρακειμένῳ νησιδίῳ διαφυγόντων, αὐτὸς τιμωρησόμενος τούτους ἀπέ-
πλει· καὶ δὴ μέσον τοῦ πελάγους γενόμενος, ὡς ὁ πάλαι Φαραὼ τῇ
θαλάσσῃ κατεποντίσθη. καὶ ὁ μὲν τοῦ Κυρίου λαὸς εὐχαριστηρίους
ὕμνους τῷ Θεῷ προσήγαγεν· Ἰάσων δὲ καὶ Σωσίπατρος τῆς φυλακῆς
ἀπολυθέντες, ἐδίδασκον ἀκωλύτως τὸν λόγον τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἀνέ-
στη βασιλεὺς ἕτερος, καὶ τὰ περὶ τῶν ἁγίων ἔμαθε, κελεύει ἀχθῆναι
βούτην σιδηρᾶν, καὶ βληθῆναι πίσσαν ἐν αὐτῇ καὶ ῥητίνην καὶ κηρόν,
καὶ ἐκπυρωθῆναι σφοδρῶς, καὶ τοὺς ἁγίους ἐν αὐτῇ βληθῆναι. Τούτου
δὲ γενομένου, καὶ τῶν ἁγίων ἀφλέκτων διαφυλαχθέντων, πολλοὶ τῶν
ἀπίστων κατεφλέχθησαν, οἱ δὲ τῷ Χριστῷ προσέδραμον. Ὁ δὲ βασι-
λεὺς λίθον ἐξαρτήσας τῷ ἰδίῳ τραχήλῳ, ἐθρήνει, Ὁ Θεός, λέγων Ἰά-
σωνος καὶ Σωσιπάτρου ἐλέησόν με. Ὁ δὲ μακάριος Ἰάσων, παρόντος
τοῦ βασιλέως, τὸν λαὸν ἅπαντα νουθετήσας, καὶ διδάξας καὶ κατη-
χήσας, ἐβάπτισεν ἅπαντας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ
τοῦ ἁγίου Πνεύματος, ἐπονομάσας τὸν βασιλέα Σεβαστιανόν. Οὐ μετὰ
πολλὰς δὲ ἡμέρας ὁ υἱὸς τοῦ βασιλέως νόσῳ περιπεσὼν ἐτελεύτησε·

ΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ



προσευξάμενος δὲ ὁ ἅγιος ἤγειρεν αὐτόν. Πολλὰ γοῦν ἔκτοτε κατειργάσατο θαύματα. καὶ ναοὺς ἀνεγείρας περικαλλεῖς, καὶ πάντα καλῶς καὶ ὁσίως τελέσας, καὶ τὸ τοῦ Χριστοῦ ποίμνιον ἐπαυξήσας, ἐν γήρᾳ καλῷ πρὸς τὸν ποθούμενον διαβαίνει Χριστόν.

# ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ

## τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ ἀποστόλων

## **ΙΑΣΩΝΟΣ ΚΑΙ ΣΩΣΙΠΑΤΡΟΥ.**

Ἐν ταῖς ἡμέραις ἐκείναις, βασιλεύοντος Κερκυλλίνου τῆς Κερκυραίων νήσου, Ῥωμαίοις ὄντος ὑποφόρου, πολλοὶ τῶν πιστευόντων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὑπ' ἐκείνου βασανιζόμενοι, τὸν τῆς ἀθανασίας ἀγῶνα διήνυον, καὶ τῶν στεφάνων τοῦ μαρτυρίου κατηξιοῦντο. ὧν πρῶτοι ὑπῆρχον Ἰάσων καὶ Σωσίπατρος οἱ ἅγιοι, τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου ἐξ ἀρχῆς γενόμενοι γνήσιοι μαθηταί. Ὁ γὰρ μακάριος Παῦλος, τὸ μέγα σκεῦος τῆς ἐκλογῆς, τὸ στόμα Χριστοῦ, τὸ φῶς τοῦ κόσμου, ἄρτι τὴν οἰκουμένην ἅπασαν διαθέων, καὶ τὸν λόγον τῆς ἀληθείας πανταχοῦ κατασπείρων, καὶ τὸν διάβολον ὑπερορίζων τῆς οἰκουμένης, ὥστε μηδένα τόπον καταλιπεῖν τῇ πίστει τοῦ Χριστοῦ ἀνεπίβατον, καὶ τῇ Θεσσαλονικέων ἐπέστη πόλει· ἐν ᾗ τὰς μυστικὰς τῆς διδασκαλίας ἐξαπλώσας σαγήνας, πρὸ τῶν ἄλλων ἁπάντων ζωγρεῖ τὸν Ἰάσωνα, καὶ μετὰ τοῦτον Σωσίπατρον, ἐξ Ἀχαΐας ὁρμώμενον· καὶ δείκνυσι τούτους φωστῆρας ἀειλαμπεῖς, τὴν οἰκουμένην πᾶσαν καταπυρσεύοντας· ὧν καὶ τῶν ἐγκωμίων τὰς ἀπαρχὰς πλέκων, Ῥωμαίοις ἐπιστέλλων ἔλεγεν. Ἀσπάζονται ὑμᾶς Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. Καίτοι οὐκ ἐξ αἵματος αὐτῷ τυγχάνοντες συγγενεῖς, ἀλλὰ διὰ τὴν ὑπερβάλλουσαν ἀρετήν, καὶ τὴν τῆς ἀγάπης ὁμόνοιαν, συναρμοσθέντες αὐτῷ, καὶ κατὰ πάντα τοῖς αὐτοῦ νεύμασι κυθυπείκοντες. Οὗτοι τοίνυν οἱ θεῖοι καὶ πανάριστοι ἄνδρες Ἰάσων καὶ Σωσίπατρος, τοῦ μεγάλου Παύλου φυτεία γενόμενοι ἐξ ἀρχῆς, ὡς ἤδη καὶ πρώην εἰρήκαμεν, καὶ πᾶσαν τὴν ἀνατολὴν τὸ

κατ' ἀρχὰς ταῖς ἱεραρχικαῖς μυσταγωγίαις, τῷ τοῦ θείου κηρύγματος φωτὶ καταυγάσαντες, μετὰ ταῦτα καὶ ἐπὶ τὴν δύσιν ἔρχονται, καὶ ταύτην τῷ ζόφῳ τῆς ἀσεβείας κεκαλυμμένην οὖσαν καταφωτίζοντες, μηδένα φόβον ἢ κίνδυνον καθόλου ὑποστελλόμενοι, βίον μὲν ἀνεπίληπτον ἔχοντες, τὸν δὲ σωτήριον λόγον κηρύσσοντες πανταχοῦ. Καὶ γὰρ ἐξ ἀρχῆς ὁ μὲν τρισμακάριος καὶ ἅγιος Ἰάσων τὴν τῆς Ταρσοῦ περιφανῆ μητρόπολιν κυβερνᾶν ἐμπεπίστευτο παρὰ Παύλου τοῦ ἀοιδίμου, ὡς οἰκείαν πατρίδα· ὁ δὲ μακάριος Σωσίπατρος τῆς Ἰκονιέων ἐκκλησίας εἶχε τὴν προστασίαν· οἵτινες ἐπὶ χρόνους ἱκανοὺς τῇ τοῦ Κυρίου χάριτι τὰς ἐκκλησίας ταύτας ποιμάναντες, καὶ πληθύναντες ταῖς διδασκαλίαις, ζήλου πνέοντες θεϊκοῦ, τὴν δύσιν ἄμφω καταλαμβάνουσιν. Καὶ δὴ τῇ τῶν Κερκυραίων ἐπιδημήσαντες πόλει, ναὸν ἐγείρουσι περικαλλῆ τῷ Θεῷ ἔξω τειχῶν, εἰς ὄνομα Στεφάνου τοῦ πρωτομάρτυρος, ἐν ᾧ νύκτωρ τε καὶ μεθ' ἡμέραν τὸν Θεὸν ἀνυμνοῦντες, πολλοὺς πρὸς τὴν ἀληθινὴν πίστιν ἐχειραγώγουν. Ἐν μιᾷ γοῦν τῶν νυκτῶν, εὐχομένων αὐτῶν καὶ παρατεινόντων τὴν ἱκεσίαν ἐπὶ πολύ, ἐπιστάντες τινὲς τῶν Ἑλλήνων ἄφνω, εἶπον πρὸς αὐτούς· Εἴπατε ἡμῖν ὦ ξένοι, τίς ἡ καινὴ αὕτη διδαχή, καὶ τίς ἡ πίστις ὑμῶν καὶ ἡ προσδοκία; ὡς γὰρ ἔοικε, μεγάλα ταῦτα καὶ θαυμαστά, καὶ νοῦν ἀνθρώπινον ὑπερβαίνοντα. Οἱ δὲ ἅγιοι εἶπον· Καλῶς ὑπολαμβάνετε ὦ ἄνδρες· καὶ γὰρ ἃ διδάσκομεν, Θεοῦ ἀληθινοῦ μυστήριά εἰσιν, καὶ ἡ πίστις ἣν κηρύσσομεν, ἀληθὴς ὑπάρχει καὶ ἄμωμος. Καὶ ὑπεδείκνυον αὐτοῖς τὸν Σταυρὸν τοῦ Χριστοῦ καὶ τὸ Εὐαγγέλιον. Καὶ ἔλεγον· Ἡ πίστις ἡμῶν τῶν Χριστιανῶν, οὐ δι' ἀποδείξεως λόγων, ὡς ὑμῖν δοκεῖ, διαγινώσκεται· δι' ἐνεργείας δὲ μᾶλλον φανερᾶς καὶ ἐναργοῦς. πρεσβυτέρα γάρ ἐστιν ἡ δι' ἐνεργείας πίστις, ἢ ἡ διὰ λόγων ἀπόδειξις· καὶ οἷς ἡ διὰ πίστεως ἐνέργεια πάρεστι, τούτοις περιττὴ ἡ διὰ λόγων ἀπόδειξις. Ταῦτα τοίνυν ἀκούοντες καὶ ἄλλα πλείονα οἱ παραγενόμενοι, ἐπίστευσαν τῷ σωτῆρι Χριστῷ, προσκαρτεροῦντες τῇ τούτων διδαχῇ, καὶ ἐβαπτίζοντο, καὶ καθεκάστην προσετίθεντο τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε καὶ αὐτὸν τὸν βασιλέα Κερκυλλῖνον ἀκούσαντα, πυθέσθαι περὶ τούτων, καὶ σφόδρα ἀγανακτεῖν. Ὃς ἐν μιᾷ μεταστειλάμενος τοὺς ἁγίους, εἶπε πρὸς αὐτούς. Λέγετέ μοι, πόθεν ἐστέ; καὶ τίς ὁ διδάξας ὑμᾶς τὰς καινὰς ταύτας διδασκαλίας, καὶ ἐναντίας τῶν πατρῴων ἐθῶν, καὶ σπεύδετε τὰς τῶν μεγίστων θεῶν κωλύειν θυσίας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



καὶ τὴν τοῦ Ἐσταυρωμένου μεγαλύνειν λατρείαν; Οἱ ἅγιοι εἶπον· Τὸ μὲν ὅθεν ἐσμὲν λέγειν, οὐκ ἀναγκαῖον· μαθηταὶ δὲ γεγόναμεν τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἰδοὺ εὐαγγελιζόμεθα πᾶσιν ἀνθρώποις, ἀπὸ τούτων τῶν ματαίων καὶ ψευδωνύμων θεῶν ἀποσπᾶν, καὶ ἐπιστρέφειν ἐπὶ Θεὸν ζῶντα, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ὁ βασιλεὺς λέγει· Πείσθητέ μοι, καὶ ἀρνησάμενοι τὸν Χριστὸν ἐκεῖνον, ὃν λέγετε, θύσατε τοῖς θεοῖς, οἷς πᾶσα ἡ οἰκουμένη θύει· καὶ ζήσεται ἐντίμως ἡ ζωὴ ὑμῶν. εἰ δὲ μή, γνωστὸν ὑμῖν ἔστω, ὅτι πειρασθήσεσθε βασάνων, ὧν οὔτε ἐν ἄλλοις ἠκούσατε ἢ ἑωράκατε, καὶ τὰ σώματα ὑμῶν τοῖς θηρίοις καὶ τοῖς πετεινοῖς προθήσω βοράν. Οἱ ἅγιοι εἶπον· Ἄκουσον ὦ βασιλεῦ, τῶν μὲν σωμάτων ἡμῶν ἐξουσίαν ἔχεις· ὡς βούλει, τιμώρει αὐτά· μάστιζε, καῖε πυρί, θαλάσσῃ ῥίπτε, καὶ εἴτι ἄλλο τῶν ἀπανθρώπων ἐπινενόηταί σοι κολαστηρίων, τῶν δὲ ψυχῶν, οὐκ ἔχεις· Θεὸς γὰρ μόνος ἔχει τὴν ἐξουσίαν, ὁ κρατῶν πάσης πνοῆς. Ὁ δὲ οὐκ ἐνεδίδου, ἀλλ' ἐπέμενεν ἔτι καταναγκάζων αὐτοὺς θύειν τοῖς μὴ οὖσι θεοῖς. Πρὸς ὃν οἱ ἅγιοι παῤῥησιασάμενοι εἶπον· Ἐχθρὲ πάσης δικαιοσύνης καὶ ἀληθείας, υἱὲ διαβόλου, οὐκ αἰσχύνῃ θεοὺς ὀνομάζων, τοὺς τὰ τῆς αἰσχύνης ἔργα δεδρακότας; τί γὰρ ἐν αὐτοῖς θεότητος ἄξιον ἔργον εἶδες; ἢ ἤκουσας; οὐχὶ μέθαι, καὶ ἀσέλγειαι, καὶ τέκνων καταπόσεις, γοητεῖαί τε καὶ παιδοφθορεῖαι, τὰ ἐκείνων σεμνολογήματα; Ἐπὶ τούτοις ὁ βασιλεὺς θυμωθεὶς πάνυ, ἐκέλευσε καθειρχθῆναι τοὺς ἁγίους ἐν τῷ δεσμωτηρίῳ, ἕως ἂν σκέψηται, τί ἂν ποιήσειεν αὐτοῖς. Ἐν δὲ τῷ δεσμωτηρίῳ, ἐν ᾧ τούτους ἀπέκλεισεν ὁ βασιλεύς, προϋπῆρχον ἑπτὰ λῃσταὶ κατακεκλεισμένοι· ὧν ὁ μείζων αὐτῶν, Σατορνῖνος τοὔνομα, ἐν τῷ τοὺς ἁγίους εἰσέρχεσθαι ἐν τῇ φρουρᾷ, εἶδε νεανίσκον ὡραῖον καὶ φωτοειδῆ προηγούμενον αὐτῶν. Ὃς παραυτίκα προσελθὼν τοῖς ἁγίοις, τὸ ὁραθὲν ἀπήγγειλεν ἐπὶ πάντων. Οἱ δὲ ἅγιοι εἶπον αὐτῷ· Καὶ εἰ τοῦτο ἑώρακας ἄνθρωπε, τί κωλύει καὶ σὲ πιστεῦσαι εἰς τὸν ἀποστείλαντα Κύριον Ἰησοῦν Χριστὸν τὸν ἄγγελον αὐτοῦ ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τῶν ἐλπιζόντων ἐπ' αὐτῷ; Σατορνῖνος καὶ οἱ λοιποί, Ἰακίσχολος, Φαυστιανός, Ἰανουάριος, Μαρσάλιος, Εὐφράτιος, καὶ Μάμμιος, εἶπον· Δοῦλοι τοῦ ὄντως ἀληθινοῦ Θεοῦ, εὔξασθε ὑπὲρ ἡμῶν, ὅτι ἤδη ἐκλείπομεν· εἰσὶ γὰρ ἡμέραι ὀκτώ, ἐν αἷς τροφῆς τὸ σύνολον οὐ μετέσχομεν. Οἱ δὲ ἅγιοι γόνυ κλίναντες

καὶ εὐξάμενοι εἶπον πρὸς αὐτούς. Εἰ πιστεύετε ἐξ ὅλης ψυχῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃν ἡμεῖς κηρύσσομεν, οὐ λιμός, οὐ κίνδυνος, οὐδ' ἄλλο τι τῶν θλιβερῶν δύναται ὑμῶν κυριεῦσαι. Σατορνῖνος καὶ οἱ λοιποί, ὡς ἐξ ἑνὸς στόματος ἀπεκρίθησαν· Πιστεύομεν κύριοι, ὅτι μέγας ἐστὶν ὁ Θεὸς ὑμῶν, καὶ ἔγνωμεν ἀληθῶς, ὅτι οὐκ ἔστιν ἐν ἄλλῳ τινὶ ἡ βοήθεια καὶ σωτηρία, εἰ μὴ ἐν τῷ ὀνόματι αὐτοῦ. Καὶ πάλιν τῶν ἁγίων προσευξαμένων, ἐξαίφνης ἐπληρώθη τὸ δεσμωτήριον εὐωδίας· ὡς ἵνα εἴποι τις, ὅτι πάντα τὰ ἀρώματα καὶ πᾶν κρίνον τοῦ ἀγροῦ καὶ ῥόδον, καὶ πᾶν ἄνθος εὔοσμον ἐκεῖσε συνείλεκτο· καὶ λοιπὸν ἦσαν ἅπαντες χαίροντες καὶ ἀγαλλιώμενοι ὡς ἐν παραδείσῳ Θεοῦ. Ὁ δὲ καπικλάριος(1) Ἀντώνιος, ὁ τὴν φυλακὴν πεπιστευμένος, ἀνακείμενος ἐπὶ τῆς κλίνης αὐτοῦ, ὡς ᾔσθετο τῆς εὐωδίας, θᾶττον ἀνέστη, καὶ διαγρηγορήσας, ἦν γὰρ λοιπὸν μεσονύκτιον, εἶδε φῶς ἐν τῇ φυλακῇ διά τινος ὀπῆς μέγα, καὶ περιστερὰν λευκὴν τοῖς ἁγίοις περιϊπταμένην. ἤκουσε δὲ καὶ φωνὴν ὑμνῳδίας ὡς ἀπὸ πολλοῦ γενομένου ὄχλου. Ὃς ἐκπλαγεὶς ἐπὶ τῷ παραδόξῳ θαύματι, ἤνοιξε μὲν εὐθὺς τὰς θύρας τῆς φυλακῆς. εἰσήλατο δὲ ἔντρομος ἔνδον· καὶ προσπεσὼν τοῖς ἁγίοις, ἠξίου λαβεῖν, μεθ' ὧν ἐφρούρει λῃστῶν, τὴν δι' ἁγίου πνεύματος ἀναγέννησιν. Ὁ δὲ μακάριος Ἰάσων, ἐνεχθέντος ὕδατος, ἔδωκεν αὐτῷ καὶ τοῖς ἐν τῷ δεσμωτηρίῳ τὸ λουτρὸν τῆς ἐπουρανίου χάριτος· καὶ ἔδειξε παρευθὺς τοὺς τῶν δαιμόνων θεραπευτάς, υἱοὺς Θεοῦ καὶ κληρονόμους διὰ τοῦ ἁγίου βαπτίσματος. Μεθ' ἡμέρας δέ τινας μαθὼν ταῦτα ὁ βασιλεύς, ἐκέλευσε παραστῆναι τῷ βήματι αὐτοῦ τὸν Ἀντώνιον. Οἱ δὲ στρατιῶται ἐλθόντες, καὶ παρακύψαντες ἐν τῇ φυλακῇ, ἐξέστησαν ἰδόντες τὰ θαυμάσια τοῦ Θεοῦ· εἶδον γάρ τινα νεανίσκον φοβερὸν ἐξαστράπτοντα, ἐν μὲν τῇ δεξιᾷ αὐτοῦ χειρὶ κατέχοντα σταυρόν, ἐν δὲ τῇ εὐωνύμῳ ῥομφαίαν. ἐθεάσαντο δὲ καὶ ἑτέρους ἄνδρας δέκα ἑστῶτας ἐν τῇ φυλακῇ, χρυσοῦς στεφάνους ἔχοντας ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ φωνῆς ἤκουσαν, ψαλλόντων αὐτῶν καὶ λεγόντων· Ἅγιος ἅγιος ἅγιος Κύριος Σαβαώθ. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ μὴ τολμήσαντες εἰσελθεῖν, ὑπέστρεψαν πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, ἃ εἶδον καὶ ἤκουσαν ἐν τῇ φυλακῇ. Ὁ δὲ βασιλεὺς ἀκούσας ταῦτα, καὶ ἔκθαμβος γεγονώς· ἐδόκει

(1) Ἐκ τοῦ clavis - clavicularius=κλειδοῦχος. (Σ. Ἐκ.)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



γὰρ ὡς ἔκ τινος ἐπαοιδίας τὰ ὁραθέντα τοῖς στρατιώταις γενέσθαι· ἠρέμει, καὶ ἠπόρει τὸ τί διαπράξηται. Μετ' ὀλίγον δὲ μεταστέλλεταί τινα τῶν ἐπαοιδῶν, καὶ φησὶ πρὸς αὐτόν· Εἰ σοί τί ἐστι δύναμις πρὸς Διὸς δεδωρημένη, διεγέρθητι, καὶ στῆθι κατὰ τῶν ἐναντίων, Ἰάσωνος καὶ Σωσιπάτρου, τῶν μαγγανείαις τερατοποιῶν· ἐξιστῶσι γὰρ τὴν πόλιν ἡμῶν ξένας παραδεικνύντες μορφάς, καὶ ἰδοὺ πάντες ὀπίσω αὐτῶν ὑπάγουσιν. Ὁ δὲ ἐπαοιδὸς ἀπεκρίθη τῷ βασιλεῖ· Μόνον κέλευσον, ὦ βασιλεῦ, καὶ πάντα γίνονται ἐν τάχει τὰ σοὶ καταθύμια. Καὶ ὁ βασιλεύς· Ὃ βούλει ποιεῖν, ποίησον τάχιον. Τότε ᾐτήσατο ὁ πλάνος ἐκεῖνος ἐνεχθῆναι αὐτῷ ζεῦγος βοῶν, καὶ ἄροτρον καὶ σῖτον. καὶ τούτων ἐν τάχει ἐνεχθέντων, λαβὼν τὸν σῖτον ὁ τοῦ ψεύδους καὶ τῆς ἑαυτοῦ ἀπωλείας γεωργός, τὸ δοκεῖν ἔσπειρε καὶ ἠροτρίασε· καὶ ἐν αὐτῇ τῇ ὥρᾳ καὶ ἐβλάστησεν ὁ σῖτος, καὶ εἰς κάλαμον ἦλθε καὶ στάχυν· καὶ χιτῶνες ἐν τῷ καλάμῳ, καὶ ἀνθέρικες ἐν τῷ στάχυϊ, καὶ ὡράθη λευκὴ ἡ χώρα, καὶ πρὸς θερισμὸν ἐπιτηδεία. ἣν καὶ θερίσας ὁ πλάνος ἐκεῖνος, καὶ τὸν σῖτον ἀποκαθάρας, εἶτα τὴν μύλην ἀγαγὼν ἔμπροσθεν τοῦ βασιλέως, τὸν σῖτον ἀλήσας καὶ φυράσας, ἐποίησεν ἄρτον ἐπὶ χεῖρας. Καὶ βλέπων εἰς αὐτόν, ἐξεπλήττετο· εἶτα γευσάμενος ἐβόησεν οὕτως· Ὦ Ζεῦ, μέγιστε τῶν λοιπῶν θεῶν· μέγας εἶ ὄντως· καὶ οὐκ ἔστι δυνατὸς πλὴν σοῦ, ὁ ἐν μιᾷ ὥρᾳ καὶ σπείρειν καὶ θερίζειν καὶ ἀλᾶν(1) καὶ ἀρτοποιεῖν παρέχων τοῖς φοβουμένοις σε. Ταῦτα φλυαρήσας ὁ βασιλεύς, ἐπιστραφεὶς πρὸς τοὺς συνειλεγμένους λέγει· Οὐδέποτέ τι τοιοῦτον ἐγὼ ἤκουσα τῶν πάλαι ἢ τῶν νῦν· καὶ πῶς πλανῶνται τινὲς ὀπίσω τῶν φασματοποιῶν ἐκείνων, θαυμάζω. Καὶ τῇ ἕωθεν ἀναστὰς ἀπὸ τῆς κοίτης αὐτοῦ μετὰ τῆς εἰωθυίας δορυφορίας παραγίνεται ἐν τῇ φυλακῇ, καὶ κελεύει μόνον τὸν καπικλάριον Ἀντώνιον ἐξελθεῖν. Ὡς οὖν ἐξῆλθε, βλέψας εἰς αὐτὸν πικρὸν καὶ ἀνήμερον, εἶπεν αὐτῷ· Λέγε μοι σὺ μιαρώτατε καὶ τῆς τῶν θεῶν εὐμενείας ἀλλότριε, τίς σε πονηρὸς οὕτω δαίμων ἐπὶ κακὴν εἱμαρμένην ἐλάσας, πέπειθε τὰ ἀρχαῖα ἔθη καὶ τὴν πατρῴαν εὐδαιμονίαν καταλιπεῖν, καὶ τῇ τῶν Χριστιανῶν προσοικειωθῆται πλάνῃ; τί γὰρ καὶ θαύματος ἄξιον ἐν ἐκείνοις ἑωρακώς, τοῦτο πρᾶξαι τετόλμηκας: Ὁ δὲ Ἀντώνιος πρὸς ταῦτα μὲν οὐδὲν ἀπεκρίθη· τὸ δὲ σημεῖον τοῦ σταυροῦ κατὰ

(1) Καὶ παρὰ Μουστοξύδῃ καὶ ἐνταῦθα ἔχει ἀλᾶν ἀντὶ ἀλοᾶν = ἀλωνίζειν (Σ. Ἐκ.)

τῆς ὄψεως τοῦ τυράννου πεποίηκεν. Ὁ δέ, θυμοῦ πολλοῦ πλησθείς, τὴν δεξιὰν αὐτοῦ χεῖρα τμηθῆναι παραχρῆμα κελεύει. Καὶ τούτου γενομένου, λέγει ὁ βασιλεὺς πρὸς τὸν μακάριον Ἀντώνιον· Ποῦ ἐστιν ὁ Θεός σου ἐκεῖνος, ὃν σέβῃ; εἰ γὰρ ἠδύνατο σώζειν, ὡς σὺ πλανᾶσαι, τοὺς πιστεύοντας εἰς αὐτόν, τάχα ἂν καὶ νῦν ἐῤῥύσατο καὶ σὲ τῆς παρούσης ἀνάγκης. Ὁ ἅγιος Ἀντώνιος λέγει· Γίνωσκε βασιλεῦ, ὡς οὐδὲν ἀδυνατεῖ τῷ Θεῷ μου· πλὴν βούλεται διὰ τῶν βασάνων τούτων καθαρίσαι με τῶν πολλῶν μου ἁμαρτιῶν, ὧν ἐν ἀγνοίᾳ διεπραξάμην ἐν τῷδε τῷ μοχθηρῷ βίῳ, λατρεύσας εἰδώλοις κωφοῖς καὶ ἀναισθήτοις, καὶ διὰ τῆς ὑπομονῆς καὶ καρτερίας στεφανῶσαι, καὶ τῆς μερίδος τῶν σωζομένων καταξιῶσαι, οὗτος γάρ ἐστι μόνος Θεὸς ζῶν, ἀληθινός, ἰσχυρός, ἐξουσιαστής, δημιουργὸς τῶν ὅλων, καὶ σωτὴρ πάντων τῶν ἐπικαλουμένων αὐτόν, οἱ δὲ σοὶ θεοί, βδελύγματά εἰσι κωφὰ καὶ ἀναίσθητα, δαιμονίων ἀκαθάρτων σκηνώματα, τῶν μελλόντων αἰωνίῳ πυρὶ παραδίδοσθαι, μετὰ τῶν σεβόντων αὐτά, οἷς ὅμοιοι γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ὁ βασιλεὺς εἶπεν· Οὐκοῦν, ἐπειδὴ ἥδιστα καὶ ποθεινὰ τὰ δῆθεν ἀθλητῇ τοῦ Ἐσταυρωμένου λογίζεται, καὶ τὴν εὐώνυμον αὐτοῦ τμηθῆναι χεῖρα προστάττω, εἶθ' οὕτω καὶ τοὺς δύο πόδας· καὶ ἴδωμεν, εἰ ἔλθοι βοηθήσων αὐτῷ ὁ Θεὸς αὐτοῦ. Καὶ τούτων μετὰ πολλοῦ τοῦ τάχους γινομένων, τῆς αὐτῆς εἴχετο καρτερίας ὁ ἅγιος, οὕτω γὰρ διέκειτο, ὡς ἐν ἀλλοτρίῳ σώματι πάσχων. Ἄγγελος δὲ Κυρίου ἐπιστὰς αὐτῷ, θάρσους ἔπλησε, καὶ ἔτι μικρὸν ὑπομεῖναι παρεκελεύσατο. Ὁ δὲ ἅγιος Ἀντώνιος χαρᾶς πλησθείς, προσηύξατο λέγων· Εὐχαριστῶ σοι Κύριε Ἰησοῦ Χριστέ, ὅτι κατηξιώθην ὑπὲρ τοῦ ὀνόματός σου τοῦ ἁγίου ταῦτα παθεῖν, καὶ ὅτι ἔδειξας τὰ ἐλέη σου εἰς ἐμὲ τὸν ἀνάξιον, καὶ ἀπέστειλας τὸν ἄγγελόν σου καὶ ἐνίσχυσέ με, καὶ παρέσχε μοι δύναμιν καὶ προθυμίαν τοῦ καταλῦσαι τελείως, δέσποτα, τὰ θράσος τοῦ παρανόμου τούτου καὶ τὰς ἐπινοίας. πέπεισμαι γάρ, ὅτι τοῖς εἰς σὲ πιστεύουσιν ἐν παντὶ τόπῳ οὐ διαλείπεις βοηθῶν καὶ ἀντιλαμβανόμενος. Ταῦτα ἀκούσας ὁ βασιλεύς, καὶ ἐμμανὴς γενόμενος εἶπεν· Ἐγώ σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς ἐν τάχει ἀφανίσω· ἵνα γνῶσι πάντες, ὅτι εἰς ἄνθρωπον βιοθανῆ τὰς ἐλπίδας ἔχεις, καὶ οὐχὶ εἰς Θεόν. Ὁ ἅγιος Ἀντώνιος εἶπε· Βούλει γνῶναι, κύων ἀναιδέστατε καὶ ἀκάθαρτε, ὅτι πάντα δυνατὰ τῷ Θεῷ μου; ὅρα. Καὶ πάντων εἰς αὐτὸν ἀτενισάντων, αὐτὸς ἀναβλέψας εἰς τὸν



οὐρανὸν εἶπε· Κύριε Ἰησοῦ Χριστέ, πάταξον τῇ ῥομφαίᾳ σου τοὺς ἀντιτασσομένους τῷ κράτει σου, ὅπως καὶ αὐτῇ τῇ πείρᾳ μάθωσιν οἱ ἀπειθεῖς τὴν μεγαλωσύνην σου καὶ τὴν δυναστείαν σου. Καὶ ἅμα τῷ εἰπεῖν αὐτὸν ταῦτα, πῦρ ἔπεσεν ἀπὸ τοῦ οὐρανοῦ μετὰ ἤχου σφοδροῦ καὶ βροντῆς φοβερᾶς ἐπὶ τὸ παλάτιον· καὶ παρευθὺς κατέκαυσε τὴν γυναῖκα τοῦ βασιλέως, καὶ τοὺς δύο αὐτοῦ υἱούς. Τότε ἐγένετο φόβος μέγας ἐπὶ πᾶσαν τὴν πόλιν, καὶ πολλοὶ ἐπέστρεψαν ἐπὶ τὸν Κύριον· καὶ αὐτὸς δὲ ὁ βασιλεὺς φοβηθεὶς πάνυ, ἔφυγεν ἀπὸ τοῦ παλατίου αὐτοῦ· μὴ συνιεὶς δὲ ὁ ἄθλιος τὴν δύναμιν τοῦ Χριστοῦ, καὶ γὰρ ἦν ἐσκοτισμένος τῇ διανοίᾳ τῇ τοῦ διαβόλου μέθῃ· καὶ προσέταξεν ἔμπροσθεν αὐτοῦ συρόμενον ἀχθῆναι τὸν ἅγιον Ἀντώνιον. Ἀχθέντος δὲ αὐτοῦ, διελάλησεν ὁ βασιλεὺς οὕτως· Εἴδετε πῶς αἱ μαγεῖαι τοῦ παμπονήρου τούτου, καὶ τῶν νεφῶν αὐτῶν ἥψαντο; Ὁ ἅγιος Ἀντώνιος εἶπε· Τὰ νέφη τὸ κέλευσμα τοῦ ἑαυτῶν δεσπότου ἐποίησαν. Ὁ βασιλεὺς λέγει· Οὐκοῦν καὶ τῶν νεφῶν αὐτὸς δεσπόζεις; Οὐκ ἐγώ, φησίν, ἀλλ' ὁ Κύριός μου Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ βουληθεὶς ἐν ὀργῇ δράξασθαι τοῦ μακαρίου πρὸς τὸ διασπαράξαι αὐτόν, ἔμεινεν ἀνενέργητος· εὐθέως γὰρ αἱ χεῖρες αὐτοῦ παρελύθησαν· καὶ δὴ γενόμενος ἐν ἀπορίᾳ, ἐκέλευσε συρόμενον αὐτόν, ἔξω τῆς πόλεως ῥιφθῆναι, καὶ οὕτως ἀποκεφαλισθῆναι. Ὁ δὲ ἅγιος Ἀντώνιος, ἤδη μέλλων ἐκλείπειν, ἔλεγε μετὰ δακρύων εὐχόμενος· Κύριε ὁ Θεὸς τῶν δούλων σου Ἰάσωνος καὶ Σωσιπάτρου, πρόσδεξαι ἐν εἰρήνῃ τὸ πνεῦμά μου, καὶ ἀνάπαυσόν με ἐν ταῖς σκηναῖς τῶν δικαίων σου. Καὶ εὐθέως ἐγένετο φωνὴ πρὸς αὐτὸν οὐρανόθεν λέγουσα. Χαίροις Ἀντώνιε ἀθλητά, καλῶς ἠγωνίσω, μακάριος εἶ ἐν ἀνδράσι· δεῦρο λοιπόν, ἀναπαύου ἐν τῇ ἡτοιμασμένῃ σοι δόξῃ καὶ βασιλείᾳ. Καὶ ψάλλων ὁ ἅγιος· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος. Ἀνὴρ δέ τις εὐλαβὴς Θεοδόσιος τοὔνομα, πρεσβύτερος τῷ τότε χρόνῳ ὑπάρχων, κρυπτόμενος διὰ τὸν φόβον τοῦ τυράννου, θεωρῶν ἕκαστα καὶ γράφων ἥρπασε νυκτὸς σὺν ἑτέροις ἀδελφοῖς τὸ τίμιον λείψανον τοῦ ἁγίου Ἀντωνίου, καὶ ἔκρυψεν αὐτὸ ὑπὸ γῆν μετὰ τῆς πρεπούσης τιμῆς, ἐν μέσῳ τοῦ ναοῦ τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. Ὁ δὲ βασιλεὺς μετὰ δύο ἡμέρας ἐκέλευσε παραστῆναι αὐτῷ τοὺς ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον. Ὡς δὲ παρέστησαν, εἶπεν αὐτοῖς· Μὴ νομίσητε καὶ τὴν νῦν δίκην παραπλησίαν ἔσεσθαι τῆς

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ

προτέρας· καὶ γὰρ ἡ τῶν ἐμῶν ἁπαλότης ῥημάτων, εἰς θρασύτητά πως ἀρθῆναι τὴν ὑμετέραν εὐήθειαν παρεσκεύασε· καὶ πολλῶν κακῶν καὶ ταραχῆς αἴτιοι τῇ ἐμῇ ἀρχῇ καὶ τῇ πόλει γεγόνατε. πρὶν οὖν τῶν αὐ- τῆς αὐστηρῶν πειραθῆναι κολαστηρίων, ἐῤῥῶσθαι φράσατε τῇ κενῇ ταύτῃ καὶ ματαίᾳ θρησκείᾳ, ὑποκύπτοντες τοῖς παρ' ἐμοῦ λεγομένοις. Οἱ ἅγιοι εἶπον· Ἡμεῖς ὦ βασιλεῦ, τὴν ἀληθινὴν πίστιν ὑπὸ τῶν ἁγίων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διδαχθέντες ἀποστόλων, οὐ δυνάμεθα καταλιπεῖν τὸ φῶς, καὶ προσδραμεῖν τῷ σκότει. ἕνα Θεὸν οἴδαμεν, ἐν τρισὶν ὑποστάσεσι γνωριζόμενον, καὶ αὐτῷ μόνῳ τὴν ἀληθινὴν προσκύνησιν καὶ τὸ σέβας καὶ τὴν εὐχαριστίαν προσφέρομεν. ὑπὲρ τῆς εὐσεβείας τοίνυν ταύτης, ἤγουν τῆς εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τῆς μιᾶς θεότητός τε καὶ συμφυΐας, ἀπείλει, τιμώρει, σφάττε, ποίει ὃ θέλεις· ἡμῖν γάρ, ὡς εἶπεν ὁ διδάσκαλος ἡμῶν, τὸ ζῆν, Χριστός, καὶ τὸ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, κέρδος καὶ δόξα. Ὁ βασιλεὺς εἶπεν· Ἠκούσατε οἵας τιμωρίας ὑπέστη, καὶ οἵῳ παρεδόθη θανάτῳ πρὸ τούτων τῶν δύο ἡμερῶν Ἀντώνιος ἐκεῖνος ὁ καπικλάριος, ὁ ἀπατηθεὶς παρ' ὑμῶν; Ἀπεκρίθησαν αὐτῷ οἱ ἅγιοι· Ἠκούσαμεν βασιλεῦ, καὶ ἐδοξάσαμεν τὴν δύναμιν τοῦ Χριστοῦ· ὅτι διὰ πίστεως καὶ ὑπομονῆς κατέβαλέ σου τὴν πολλὴν καὶ ἀνυπέρβλητον ἀπήνειαν καὶ κακότεχνον γνώμην, καὶ ἀπέλαβε τὸ στέφος τῆς ἀφθαρσίας παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ βασιλεὺς εἶπεν· Οὐ καλῶς εἶπον, ὅτι τῶν ἐμῶν ῥημάτων ἡ ἁπαλότης εἰς θρασύτητα ὑμᾶς ἕλκει; θύσατε οὖν τοῖς θεοῖς, ἐπεί, τὰ σώματα ὑμῶν ἄρτι ἀφανίσω ταῖς τιμωρίαις. ὑμεῖς εἰς τὰς μαγείας ὑμῶν θαῤῥοῦντες, δι' ὧν πολλοὺς ἠπατήσατε, οἴεσθε κἀμοῦ περιγενέσθαι, ἀλλ' οὐκ ἰσχύσετε. εἰσὶ γὰρ παρ' ἡμῖν ὑποφῆται, μείζονα τῇ δυνάμει τῶν θεῶν σημεῖα ποιοῦντες ὑμῶν. Ὁ ἅγιος Ἰάσων εἶπε· Καὶ δυνάμεθα αὐτοὺς ἰδεῖν; Ὁ δέ, Καὶ πάνυ μάλα, ἔφη. Ὁ ἅγιος Ἰάσων ἔφη· Ἐλθέτωσαν οὗτοι βασιλεῦ, καὶ παρὰ σοὶ σημειοφόροι τῇ δυνάμει τῶν θεῶν σου. Ὁ δὲ βασιλεὺς περιχαρὴς γεγονώς, εἶπε· Μὰ τοὺς θεοὺς ἅπαντας καλῶς εἶπας· γενέσθω οὕτως. Ἐδόκει γὰρ ὁ ἀνόητος διὰ μαγικῶν ἐνεργειῶν τὴν ἐν τοῖς ἁγίοις ἐνοικοῦσαν χάριν νικᾶν. καὶ ἤνεγκε τὸν μάγον ἐκεῖνον, τὸν ἐν μιᾷ ὥρᾳ καὶ σπείραντα καὶ θερίσαντα, καὶ ἄρτον κατὰ φαντασίαν ποιήσαντα. Ὁ δὲ ἅγιος Ἰάσων λέγει πρὸς τὸν βασιλέα· Οὗτός ἐστιν ὁ τῇ δυνάμει τῶν θεῶν σου ἐνεργῶν τὰ παράδοξα; Καὶ ὁ βασιλεὺς ἔφη· Οὗτός ἐστιν. Ὁ ἅγιος Ἰάσων

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



εἶπεν· Ἀληθῶς ἤγγικεν ἡ ἡμέρα τῆς ἀπωλείας αὐτοῦ, ἵνα σὺν αὐτῷ καταργηθῇ τὰ ἐκ δαιμονικῆς ἐνεργείας ἐπιτηδεύματα, ἃ ποιεῖν εἴωθεν εἰς ἀπάτην καὶ ἀπώλειαν τῶν ἀστηρίκτων ψυχῶν. Ὁ δὲ βασιλεὺς δοκῶν ἐξ ἀπορίας ταῦτα λέγειν τὸν ἅγιον, ἐμειδία καὶ παρεθάῤῥυνε τὸν ἀπατεῶνα λόγοις προτρεπτικοῖς. Ὡς οὖν ἔστη ἐπὶ τοῦ τόπου ὁ τοῦ ψεύδους ἐργάτης, ἔῤῥηξέ τινα φωνὴν ἐναρμόνιον, καὶ ἐπηκολούθει τῇ ᾠδῇ αὐτοῦ τῶν ζῴων τὰ ἄλογα, καὶ ἐσκίρτων· ἀλλὰ καὶ τὰ φυτὰ ἐκινεῖτο, καὶ οἱ λίθοι ἐδονοῦντο, καὶ ἐδόκει τοῖς ἠπατημένοις πάντα ὀρχεῖσθαι καὶ κυμβαλίζειν. Ἐξίσταντο οὖν πάντες οἱ θεωροῦντες σὺν αὐτῷ τῷ βασιλεῖ, καὶ ἐθαύμαζον. Ὁ δὲ ἅγιος Ἰάσων ἐγγίσας τῷ μάγῳ λέγει· Τί βούλει κάκιστε; τετέλεκάς σου τὰς λαοπλάνους καὶ ψευδεῖς θαυματοποιΐας, ἢ ἔτι καὶ ἄλλας ἐπινοεῖς τούτων ἐπιδείξασθαι χείρονας; Καὶ ὁ μάγος· Εἰ δυνατὸν καὶ ὑμῖν ἐστιν, ἔφη, παράδοξόν τι ποιῆσαι, ἔργῳ τῷ βασιλεῖ, καὶ πάντας πληροφορήσατε, εἰ δὴ πρὸς τὰ τοιαῦτα ἅπασι μείζονα τούτων τὰ ἔργα· τοῦ γὰρ λόγου τὸ πρακτικὸν προτιμότερον. Ὁ ἅγιος Ἰάσων εἶπεν· Οὐκοῦν ἐπειδὴ τοῦ λόγου τὸ πρακτικὸν προτετίμηται, δέξαι ποινὴν πρακτικῶς, ἣν οὐ καλύψει λήθη, οὐκ ἀμαυρώσει χρόνος. Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτόν, εἶπεν· Ἐκτίλαι σε Κύριος, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Καὶ αὐτῇ τῇ ὥρᾳ ἐξέψυξεν· ἵστατο δὲ νεκρὸς ἐπὶ πολὺ καθάπερ λίθινος ἀνδριάς, παρὰ πάντων ὁρώμενος. καὶ συνενεκρώθη αὐτῷ καὶ ἠφανίσθη τὰ τῆς ἀπάτης ἐπιτηδεύματα· ἥ τε φωνὴ τοῦ ὄχλου κατεσιγάσθη, καὶ τὰ ὀρχεῖσθαι νομιζόμενα πάντα, ἐφάνη μὴ σαλευόμενα. Τοῦτο τὸ παράδοξον ἰδόντες οἱ ὄχλοι θαῦμα, μιᾷ φωνῇ ἔκραζον· Μέγας ὁ Θεὸς Ἰάσωνος καὶ Σωσιπάτρου· ἀληθῶς αὐτός ἐστι Θεὸς μόνος, ὁ ποιῶν ἐν ἀληθείᾳ θαυμάσια. Ὁ δὲ βασιλεὺς μᾶλλον σκληρυνθεὶς καὶ πλησθεὶς ἀνοίας, τοὺς μὲν ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον ἐμφρουρίους εἶναι κελεύει· οὐ γὰρ ἐτόλμησε τιμωρήσασθαι αὐτούς, διαφερόντως τὸν ἅγιον Ἰάσωνα δεδιώς, μή τι θαυματουργήσει πάσχων, καὶ μεταστήσει πᾶσαν τὴν πόλιν ἀπὸ τοῦ Ἑλληνισμοῦ εἰς τὸν Χριστιανισμόν. Σατορνῖνον δὲ καὶ τοὺς σὺν αὐτῷ κελεύει ἀχθῆναι εἰς τὴν ἐξέτασιν. Καρπιανὸς ἔπαρχος εἶπεν· Οὐ δίκαιόν ἐστι βασιλεῦ, παρὰ τοιούτων οἰκτρῶν ἀνθρώπων, καὶ μάλιστα στασιαστῶν, τὸ σὸν διοχλεῖσθαι κράτος· οὐ γὰρ ἄξιοί εἰσιν οἱ τοιοῦτοι δικαστηρίων βασιλικῶν ἐξετάσεως· ἀλλ' εἰ κελεύει ἡ σὴ θειότης, ἐγὼ τιμωρήσομαι τοὺς

ἀλιτηρίους ἐκείνους. Καὶ ἤρεσεν ἡ βουλὴ τῷ βασιλεῖ, καὶ κελεύει γενέσθαι κατὰ τὴν αἴτησιν αὐτοῦ. Σατορνῖνος δὲ παρήνει τῇ συνούσῃ αὐτῷ συνοδίᾳ λέγων· Σπεύσωμεν, ἀδελφοί, τὸν προκείμενον ἡμῖν ἀγῶνα μετὰ πάσης προθυμίας ἐκτελέσαι. Χριστὸς ἡμᾶς κέκληκεν ὁ βασιλεὺς τῶν αἰώνων εἰς τὸν ἑαυτοῦ νυμφῶνα, λοιπόν, μηδεὶς ἡμῶν διὰ ῥαθυμίαν ἐπὶ τῆς κλίνης εὑρεθῇ. Καὶ ἀναστάντες προσηύχοντο, καὶ τοῖς ἁγίοις προσέπιπτον, ἀξιοῦντες εὔχεσθαι ὑπὲρ αὐτῶν· ἔμαθον γὰρ τῇ ἐπιούσῃ παραστῆναι μέλλοντες εἰς τὴν ἐξέτασιν, οἱ δὲ ἅγιοι γόνυ κλίναντες καὶ εὐχὴν ποιήσαντες καὶ τελέσαντες τό, Ἀμήν, ἐκάθισαν· καὶ δι᾽ ὅλης τῆς νυκτὸς ἐλάλουν πρὸς ἑαυτοὺς τὰ μεγαλεῖα τοῦ Θεοῦ. Καὶ ἀρχομένης τῆς ἡμέρας ἀποστέλλει Καρπιανὸς ὁ ἔπαρχος τινὰς ἐν τῇ φυλακῇ τοῦ πραιτωρίου λαβεῖν τοὺς ἄνδρας, οἵτινες ἐλθόντες, καὶ περιθέμενοι τοῖς τραχήλοις αὐτῶν ἁλύσεις, εἷλκον διὰ μέσου τοῦ ἄστεως· οὐχ ὡς λῃστάς, τοῦτο γὰρ παρωράθη, ἀλλ᾽ ὡς Χριστιανούς, καὶ τῶν θεῶν ὑβριστάς, ὅπερ μᾶλλον ἔσχατον ἔγκλημα τοῖς ἔκφροσιν ἐνομίζετο. Μετὰ δὲ πολλὰς τὰς ἐρωτήσεις καὶ τιμωρίας ἐκέλευσεν ὁ ἔπαρχος ἀναληφθῆναι αὐτοὺς ἐν τῷ δεσμωτηρίῳ. Κερκύρα δὲ ἡ θυγάτηρ τοῦ βασιλέως, παρθένος οὖσα ὡς ἐτῶν πεντεκαίδεκα, διὰ τῶν θυρίδων ἄνωθεν τῶν ἀνακτόρων προκύπτουσα, ὡς εἶδε τοὺς ἁγίους δεδεμένους, ἐπυνθάνετο τίνες τέ εἰσιν οὗτοι, καὶ ὅτου χάριν τὰς ἁλύσεις περίκεινται. Καὶ μαθοῦσα παρὰ τῶν παρεπομένων αὐτῇ θεραπαινίδων, ὅτι Χριστιανοί εἰσι, καὶ διὰ τὸν Χριστὸν ταῦτα ὑπομένουσι, μεγάλῃ τῇ φωνῇ ἀνεβόησε· Χριστιανή εἰμι κἀγώ, καὶ ἀπὸ τοῦ νῦν τὴν πατρῴαν ἀπαρνοῦμαι θρησκείαν, καὶ νυμφεύομαι τῷ Χριστῷ. Καὶ εὐθέως δραμοῦσα πρὸς τὸν ἑαυτῆς πατέρα, εἶπεν αὐτῷ· Γνωστὸν ἔστω σοι βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύω· οὐδὲ ταῖς Ἑλληνικαῖς ἔτι προσέχω δόξαις· παιδίσκη γάρ εἰμι τοῦ Χριστοῦ, καὶ αὐτὸν μόνον ἔγνων Θεὸν ἀληθινὸν καὶ σωτῆρα· λοιπὸν ποίει ὃ θέλεις. Θαμβηθεὶς δὲ ὁ βασιλεὺς ἐπὶ τῇ ἀπροσδοκήτῳ ταύτῃ παῤῥησίᾳ καὶ μεταβολῇ τῆς παιδός, ἔμεινε μὲν ἐπὶ πολὺ κεχηνώς, καὶ μόνον ἐνατενίζων αὐτῇ· μόλις δὲ εἰς ἑαυτὸν ἐλθών, ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν. Μὴ καὶ σύ, φησί, τῶν μάγων ἐκείνων Ἰάσωνος καὶ Σωσιπάτρου τῆς διδασκαλίας ἐθήλασας; Κερκύρα εἶπεν· Ὁ Θεὸς Ἰάσωνος καὶ Σωσιπάτρου, ὃν κηρύσσουσιν ἐν τῇ πόλει ταύτῃ, αὐτὸς ἥψατό μου τῶν ὀφθαλμῶν τῆς καρδίας, καὶ ἐφώτισέ με, καὶ ὑπέδειξέ μοι τὴν ὁδὸν τῆς ἀληθείας. Ὁ βασιλεὺς εἶπεν·



Καὶ αἱρῇ καὶ σὺ ὦ τέκνον ὑπὲρ ἀνθρώπου ἐσταυρωμένου ἀποθανεῖν, μὴ δυνηθέντος ἑαυτῷ βοηθῆσαι; Ἡ παρθένος εἶπεν· Οἱ διὰ τὸν Χριστὸν ἀποθνήσκοντες βασιλεῦ, μακάριοί εἰσι· ζῶσι γὰρ ἀεί· καὶ σὺν αὐτῷ βασιλεύουσι τὴν ἀΐδιον βασιλείαν· καὶ αὐτός ἐστιν ἡ ζωὴ ἡ αἰώνιος, καὶ τὸ φῶς τὸ ἀληθινόν· διὸ κἀγὼ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, καὶ παθεῖν καὶ θανεῖν οὐ παραιτοῦμαι. Ταῦτα ἀκούσας ὁ βασιλεὺς παρὰ τῆς θυγατρός, ἐξέστη τῇ διανοίᾳ, καὶ ἠλλοιώθη τῷ προσώπῳ, καὶ λοιπὸν ἤχθετο καὶ ὠργίζετο· ὠργίζετο μὲν ὡς καταφρονηθείς, ἤχθετο δὲ ὡς ἀπορηθείς. Τὴν οὖν ψυχὴν διασπώμενος, προσκαλεσάμενος Καρπιανὸν τὸν ἔπαρχον, ἐβουλεύετο τὰ περὶ τῆς παιδός. Ὁ δέ, Ὀλίγος, φησίν, ἐνδοθήτω βασιλεῦ τῇ μαινομένῃ καιρός, ἵνα σχολὴν ἑαυτῇ δοῦσα, μετάθηται πρὸς τὸ βέλτιον. Καὶ δίδοται καιρὸς τῇ παιδὶ τοῦ βασιλέως. Ἡ δὲ τῇ δοθείσῃ αὐτῇ σχολῇ εἰς ἀγαθὴν κατεχρήσατο πρᾶξιν· περιελοῦσα γὰρ ὃν περιεβέβλητο κόσμον, λέγω δὴ τοὺς προμετωπιδίους καὶ λίθους καὶ μαργαρίτας, τὰ ἐλλόβια τὰ πολυτελῆ, τὰ περιδέῤῥεα, τοὺς δακτυλίους, τὴν χρυσῷ περιηνθισμένην ἐσθῆτα, καὶ τὰ ἄλλα πάντα, καὶ πτωχοῖς διανείμασα λάθρα, εὐσταλῆ πρὸς τὸν δρόμον ἑαυτὴν τῆς ἀθλήσεως ἐγκατέστησεν. Ὅπερ μαθὼν αὐτῆς ὁ θεομάχος πατήρ, καὶ βρύξας ὥσπερ λέων, παρέδωκεν αὐτὴν τῷ ἐπάρχῳ, ἐνορκώσας αὐτὸν κατὰ τῶν θεῶν, δειναῖς αὐτὴν ὑποβαλεῖν, εἰ μὴ πείθοιτο, τιμωρίαις. Ὁ δὲ ἔπαρχος Σατορνῖνον μὲν καὶ τοὺς ἀμφ᾽ αὐτὸν πάλιν ὑποστρέφειν προσέταξεν εἰς τὸ δεσμωτήριον· τὴν δὲ ἁγίαν Κερκύραν παραλαβὼν ἐκ τῶν χειρῶν τοῦ πατρὸς αὐτῆς, ἀπήγαγεν εἴς τι χωρίον ἔξω τῆς πόλεως, ἐν χθαμαλῷ κείμενον γεολόφῳ. συνῆλθε δὲ καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ὡς γεμισθῆναι πᾶν τὸ χωρίον. ἐθρήνουν δὲ πάντες ἐπὶ τῇ παιδί, καὶ γυναῖκες καὶ ἄνδρες· καὶ γὰρ ἦν θρήνων τῷ ὄντι καὶ συμπαθείας τὸ ὁρώμενον ἄξιον· παῖς καλὴ τῷ εἴδει σφόδρα, παρθένος ἁγνή, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, βασιλέως θυγάτηρ. Εἵλκετο οὖν βίᾳ ὑπὸ στρατιωτῶν, τῶν μὲν ἑλκόντων ἐπὶ τὰ πρόσω, τῶν δὲ κατόπιν ἐπειγόντων ἀσυμπαθῶς. Καὶ πρῶτον μὲν ὁ ἄρχων θωπευτικοῖς τισι λόγοις τὸ τῆς μάρτυρος ἐπειρᾶτο καταμαλακίζειν ἀήττητον. ὡς δὲ ἤνυεν οὐδέν, ἐξετέλει τὸ προσταχθέν, καὶ τοσοῦτον αὐτὴν ἔκοψε πληγαῖς, ὡς νομίζειν τοὺς ὁρῶντας, ἀπὸ τῆς τοῦ αἵματος ῥεύσεως, μὴ εἶναι σῶμα ἀνθρώπινον τὸ τυπτόμενον, ἀλλ᾽ ἢ σφάγιον τῆς δορᾶς ἀφῃρημένον. Ἰδοῦσα δὲ ἑαυτὴν οὕτως ἡ ἁγία τῷ αἵματι πεφυρμένην, ἐβόησε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λεπτοτάτῃ φωνῇ· Εὐχαριστῶ σοι Κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι κατηξίωσάς με σήμερον ὑπὸ τοῦ ἰδίου αἵματος βαπτισθῆναι. λοιπὸν ἐνίσχυσόν με τελειῶσαι καὶ τὸν δρόμον μου. Ὁ ἄρχων εἶπεν· Ἐάσασα τὰς μωρὰς ταύτας καὶ ματαίας κενολογίας, προσελθοῦσα θῦσον τοῖς θεοῖς, καὶ ζεύχθητι ἀνδρί, καὶ γενοῦ κληρονόμος τῆς πατρικῆς βασιλείας· καὶ μὴ ἀπατῶ ταῖς διδασκαλίαις τῶν Χριστιανῶν, καὶ προξενήσῃς τῷ πατρί σου λύπην, καὶ παντὶ τῷ γένει σου ὄνειδος· μηδ' αὖ θελήσῃς ἐν τοιούτῳ κάλλει τὸν τῶν κακούργων ὑποστῆναι θάνατον. Ἡ ἁγία παρθένος εἶπεν· Ἐγὼ δικαστά, Θεὸν ἐν οὐρανοῖς ἔχουσα νυμφίον ἀθάνατον, βασιλέα αἰώνιον, οὔτε θεοῖς νεκροῖς ἔτι λατρεῦσαι, οὔτε ἀνδρὶ φθαρτῷ συνοικῆσαι ἀνέχομαι, βασιλείας δὲ προσκαίρου δόξαν οὐδόλως ἐπιζητῶ. ὁπλίζου τοίνυν, ἤδη κατασκεύαζε τὸν τροχόν, ἄναπτε τὸ πῦρ, εὐτρέπιζε τὸ σίδηρον, ὄρυσσε τὸν βόθρον, συναντιλαμβανέτω δέ σοι καὶ πατὴρ ὁ ἐμός, ἐγὼ δέ, ὡς ὁρᾷς, καὶ γυνὴ καὶ μόνη καὶ γυμνὴ καὶ ξένη τοῦ κόσμου τυγχάνω, ἓν μόνον ὅπλον ἔχουσα, τὸν Χριστόν μου καὶ Θεόν, ὃ οὔτε πληγαῖς κατακόπτεται, οὔτε σιδήρῳ κατατέμνεται, οὔτε πυρὶ κατακαίεται. οὐκ ἀποστήσομαι οὖν ἐγὼ τούτου ποτέ· κἂν καταφλέγῃς ἔπαρχε, οὐχ οὕτω θερμὸν εὑρήσεις τὸ πῦρ. Ἐπὶ τούτοις διελύθη τὸ δικαστήριον· καὶ τὴν μὲν κόρην εἶχε τὸ δεσμωτήριον, ὁ δὲ ἔπαρχος δρομαῖος τῷ βασιλεῖ πρόσεισι καὶ φησί· Γινωσκέτω βασιλεῦ ἡ θειότης σου, ὅτι χαλεπῇ πλάνῃ περιέπεσεν ἡ θυγάτηρ σου, εὐκοπώτερόν ἐστι σίδηρον εἰς ἁπαλότητα μεταστρέφειν, ἢ τὴν ἐκείνης γνώμην μεταβαλεῖν. Θυμωθεὶς οὖν ὁ βασιλεύς, κελεύει τῷ ἐπάρχῳ τινὰ τῶν Αἰθιόπων φοβερώτατον λίαν τῷ εἴδει καὶ εὐμεγέθη, καὶ περιβόητον ἐν ταῖς ἀσωτίαις ἀποστεῖλαι ἐν τῇ φυλακῇ πρὸς τὸ φθεῖραι τὴν ἁγίαν παρθένον. Προνοίᾳ δὲ Θεοῦ τοῦ πόῤῥωθεν σοφῶς καταβάλλοντος τῶν πραγμάτων τὰς ὑποθέσεις, ἄρκος ποθὲν ἐλθοῦσα, τίθησιν ἑαυτὴν παρὰ τὴν εἴσοδον τοῦ δεσμωτηρίου, φρουρὸν ἀσφαλῆ τῆς παρθενίας αὐτῆς. Ὡς οὖν ὁ Αἰθίοψ ἀπεστάλη, καὶ ἔτρεχε χαίρων ἐπὶ τὴν φυλακήν, πρὸ τοῦ ἐγγίσαι τῇ θύρᾳ, ἐφήλατο ἐπ' αὐτὸν ἡ ἄρκτος μετὰ βρυχιθμοῦ φοβεροῦ, καὶ ῥίψασα αὐτὸν ἐπὶ τῆς γῆς ὕπτιον, ἤρξατο διασπαράττειν καὶ διαμασᾶσθαι αὐτὸν τοῖς ὀδοῦσιν. Ἡ δὲ τοῦ Θεοῦ παῖς Κερκύρα, δραμοῦσα, καθάπερ τι χειροῆθες ἀρνίον, εἶπεν αὐτῇ· Ὁρκῶ σε κατὰ τῆς δυνάμεως τοῦ Χριστοῦ, ἄνες αὐτῷ, πρὸς τὸ ἀκοῦσαι τῶν παρ' ἐμοῦ ῥημάτων. Ἡ δὲ ἄρκτος, ὥσπερ αἰδεσθεῖσα, εἴασε τὸν ἄνθρωπον εὐθύς,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



καὶ πάλιν ἀπελθοῦσα, ἀνέπεσεν ἐπὶ τῆς φλιᾶς. Εἶτα λέγει τῷ Αἰθίοπι ἡ ἁγία· Τίνος χάριν ἦλθες ἐνταῦθα; Ὁ δὲ ἔφη· Καρπιανὸς ὁ ἔπαρχος ἀπέστειλέ με. Καὶ λέγει αὐτῷ ἡ μάρτυς· Ἰδοὺ τὸ ἄλογον θηρίον ἀκοῦσαν τὸ ὄνομα τοῦ Χριστοῦ εὐλαβήθη· καὶ σὺ λογικῆς ὢν φύσεως ἐν τοιαύταις ἀσωτίαις διάγεις, ἄθλιε; Ὁ δὲ Αἰθίοψ ἔντρομος γενόμενος, προσέπεσε τοῖς ποσὶ τῆς παρθένου, καὶ εἶπε· Δέομαί σου, κέλευσόν με ἐξελθεῖν ἐντεῦθεν ἀβλαβῆ, καὶ πιστεύω τῷ Θεῷ σου. Ὁ δὲ εἶπε· Μὴ φοβοῦ τὸ θηρίον, ἀλλὰ τὴν ἁμαρτίαν. τὸ γὰρ θηρίον σάρκας ἐσθίει τὰς διαλυομένας θανάτῳ· ἡ δὲ ἁμαρτία ψυχὴν δαπανᾷ τὴν ἀθάνατον, αἰωνίως κολάζουσα. Καὶ ἠξίου ὁ Αἰθίοψ δοθῆναι αὐτῷ σημεῖον τῆς πίστεως, καὶ ἀπολυθῆναι. Ἡ δέ, λαβοῦσα ξύλον, καὶ σταυρὸν παραχρῆμα τυπώσασα, δέδωκεν αὐτῷ, καὶ εἶπε· Τοῦτό ἐστι τὸ σημεῖον τῆς πίστεως, πίστευε εἰς τὸν Χριστὸν καὶ σωθήσῃ. Χριστόδουλον δὲ τοῦτον μετονομάσασα, προσέταξεν ἀπελθεῖν· Ὁ δὲ πάλιν εἶπε· Δέομαί σου δέσποινα καὶ κυρία, δίδαξόν με τί ἀποκρινοῦμαι περὶ τούτου τοῖς ἐπερωτῶσί με. Ἡ ἁγία Κερκύρα εἶπε· Μηδὲν ἕτερον ἀποκρίνου, ἀλλ' ἢ τοῦτο μόνον· τὸν Χριστὸν ζητῶ, καὶ αὐτὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Καὶ λαβὼν τὸ τέλειον τῆς πίστεως ὁ Χριστόδουλος, ἐξῆλθεν ἐκεῖθεν. βαστάζων δὲ τὸν σταυρὸν διήρχετο διὰ μέσου τῆς πόλεως, κηρύσσων παῤῥησίᾳ τὰ θαυμάσια τοῦ Θεοῦ, καὶ λέγων μεγάλῃ τῇ φωνῇ· Τὸν Χριστὸν ζητῶ, καὶ αὐτὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Ἐρωτώμενος δὲ παρὰ πολλῶν, τί τοῦτό ἐστιν· οὐδὲν ἕτερον ἔλεγεν, εἰ μὴ τὸν λόγον, ὃν μεμάθηκε παρὰ τῆς ἁγίας παρθένου. Τῇ δὲ ἑξῆς ὁ ἔπαρχος, ἀρθέντος αὐτῷ βήματος πρὸ τῆς πύλης τῆς πόλεως, ἐκάθισεν εἰς τὴν ἐξέτασιν· καὶ προσέταξε παρευθὺς παραστῆναι τὸν Αἰθίοπα. καὶ ἤχθη βαστάζων τὸν σταυρόν. Καὶ βλέψας εἰς αὐτὸν ὁ ἄρχων πικρόν τε καὶ φόνιον εἶπε· Σκοτεινόμορφε καὶ δυσειδέστερε παντὸς ζώου, τέρας ἐξαίσιον, καὶ πρόσωπον ἐβδελυγμένον καὶ μιαρώτατον· οὐκ εἶχες ἕτερόν τι δρᾶσαι, ἢ συναπαχθῆναι τῇ πλάνῃ τῆς καταράτου κόρης ἐκείνης; Ὁ δὲ Χριστόδουλος τῇ δεξιᾷ χειρὶ τὸν σταυρὸν ὑψώσας εἶπε· Χριστὸν ζητῶ, Χριστὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Ὁ ἄρχων εἶπεν· Ἀπλωθήτω ἐπὶ ξύλου, καὶ πρισθήτω κατὰ τὸ μέσον τῆς κεφαλῆς. Καὶ ἅμα τῷ λόγῳ, καὶ τὸ ἔργον ἐπηκολούθει. Πρισθεὶς δὲ ὁ μακάριος ἕως τῶν ὀφθαλμῶν, ἀνεβόησε φωνῇ μεγάλῃ λέγων· Εὐχαριστῶ σοι Κύριε Ἰησοῦ Χριστέ· ἰδοὺ ἐν τῷ αἵματί μου βαπτίζομαι· δέξαι ἐν εἰρήνῃ τὴν

ψυχήν μου. Καὶ εὐθέως ἐτελειώθη. ἐνέγκας δὲ ὁ ἄρχων πέλεκα, διεῖλεν αὐτὸν μέσον· καὶ ἔῤῥιψεν ἔξω τῆς πόλεως, εἰς βρῶσιν τοῖς κυσί. Ταῦτα πράξας ὁ μιαρὸς ἔπαρχος, ἀνέστη τοῦ βήματος· καὶ μετὰ τῆς εἰωθυίας τάξεως ὥρμησεν ἐπὶ τὴν φυλακήν, ἔνθα ἦν ἡ ἁγία Κερκύρα ἡ ἀμνὰς τοῦ Χριστοῦ. Καὶ ὡς ἔφθασε τὸ προαύλιον, ἐκωλύετο προβῆναι παρὰ τῆς ἄρκτου· ἐκπηδῶσα γὰρ ἐκ τῶν ἔσω, κατέτρεχεν αὐτὸν μετ' ἐπιεικείας, καὶ κατεδίωκεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. Ὡς οὖν ἐγνώρισε ταῦτα τῷ βασιλεῖ, καὶ ἔλαβε τὴν ἐξουσίαν τοῦ ἀνελεῖν τὴν παρθένον οἵᾳ βούλεται τιμωρίᾳ, προσέταξε πλῆθος ἐνεχθῆναι ξύλων ὑπὸ τοῦ ἐξερκέτου πολύ, καὶ κατακαῦσαι αὐτὴν σὺν τῷ θηρίῳ καὶ τῇ φρουρᾷ. Τούτου δὲ μετὰ πολλοῦ τοῦ τάχους γενομένου, καὶ τοῦ πυρὸς εἰς ὕψος αἰρομένου καὶ βροντὴν ἀποτελοῦντος, τὸ μὲν θηρίον ὑπὸ τῆς προνοίας τοῦ Θεοῦ ἀπολυθὲν ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ. Ἡ δὲ ἁγία παρθένος ἐν μέσῳ τῆς φοβερᾶς ἐκείνης πυρκαϊᾶς ἐφυλάττετο ἀβλαβὴς ὑπὸ τῆς θείας χάριτος, εὐχομένη τε καὶ εὐλογοῦσα τὸν Κύριον. ἄγγελος γὰρ ἀποσταλεὶς ὑπὸ τοῦ Θεοῦ, μετεποίει τὸ πῦρ καὶ τὴν φλόγα, καθάπερ ἐν Βαβυλῶνι τοῖς τρισὶ παισίν, εἰς ἀέρα ἔνδροσον αὐτῇ καὶ σωτήριον. Μετὰ δὲ ἡμέρας τρεῖς, ὅτε τῇ ὕλῃ συναπῆλθε τὸ πῦρ, παραγίνεται περίλυπος ὁ βασιλεὺς ἐν τῇ φυλακῇ· καὶ στὰς πόῤῥωθεν, λέγει τοῖς στρατιώταις· Εἰσελθόντες ἐρευνήσατε μή τι λείψανον εὑρεθῇ τῆς ταλαίνης ἐκείνης, καὶ ἀνελόμενοι θάψατε, ὅτι θυγάτηρ βασιλέως ἐστίν. Καὶ παρακύψαντες οἱ στρατιῶται, εἶδον τὴν τοῦ Χριστοῦ μάρτυρα καθεζομένην καὶ ἐκτείνουσαν τὰς χεῖρας πρὸς οὐρανόν, καὶ ἄγγελον φωτοειδῆ ταῖς πτέρυξιν αὐτοῦ περισκέποντα αὐτήν· καὶ ἐφοβήθησαν. Ἀπήγγειλαν δὲ τῷ βασιλεῖ τὸ παράδοξον τοῦ θαύματος. Ὁ δὲ ἐκπλαγείς, ἐπέτρεψε κληθῆναι αὐτήν. Ἡ δὲ ἐξελθοῦσα, ἔστι ἔμπροσθεν τοῦ βασιλέως, πεπαῤῥησιασμένῃ ψυχῇ καὶ φαιδρῷ τῷ προσώπῳ. Ὃς ἀτενίσας εἰς αὐτήν, καὶ κατανοήσας ἐπὶ πολὺ τὸ περιανθοῦν αὐτῇ κάλλος, ἤρετο· Σὺ εἶ τέκνον μου Κερκύρα; Ἡ μάρτυς ἀπεκρίθη· Τέκνον σὸν ἐγώ, ἐὰν πιστεύσῃς εἰς τὸν Χριστόν. Καὶ ὁ βασιλεύς· Ἔτι ἐμμένεις τῇ ἀπειθείᾳ, μετὰ τὴν τοσαύτην τῶν θεῶν εὐεργεσίαν; ἐκ γὰρ τοῦ ἀστέκτου πυρός, τῇ δυνάμει τῶν θεῶν ἐῤῥύσθης. Ἡ δὲ ἁγία μάρτυς ἐμβλέψασα μετ' ὀργῆς τῷ ἀσεβεστάτῳ παρανόμῳ βασιλεῖ, εἶπε· Τυφλὲ καὶ ἀναίσθητε καὶ πεπωρωμένε καὶ πάσης ἐστερημένε συνέσεως, οὐκ αἰσχύνῃ τὰ θαυμάσια καὶ σημεῖα τοῦ ὑψίστου Θεοῦ τοῖς ἀκαθάρ-



τοις δαίμοσιν ἐπιγράφων; οἱ θεοί σου ἑαυτοῖς βοηθῆσαι οὐ δύνανται, καὶ πῶς ἄλλοις βοηθοῦσι; θρηνήτωσαν, φευγέτωσαν, ἐῤῥέτωσαν οἱ θεοί σου, κωφὰ καὶ ἄψυχα τυγχάνοντες ξόανα. ἐμὸς δὲ βοηθὸς ὁ Χριστός ἐστι· καὶ αὐτὸς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐῤῥύσατό με ἐκ τοῦ πυρός· καὶ πᾶς ὁ πεποιθὼς ἐπ' αὐτόν, οὐ καταισχυνθήσεται πώποτε. Ὁ βασιλεὺς ἐταράχθη, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη· καὶ προσκαλεσάμενος τὸν ἔπαρχον, λέγει αὐτῷ· Παράλαβε τὴν ἀναίσχυντον ταύτην καὶ βλάσφημον, καὶ ἀπόλεσον τὸ μνημόσυνον αὐτῆς ἐν τάχει. ζήτωσαν οἱ θεοί· ὅτι ἐὰν μὴ τάχιον αὐτὴν ἀπαλλάξῃς τοῦ ζῆν, πολλῶν αὐτὸς ἐν μεθέξει γενήσῃ βασάνων, καὶ τὴν ζωὴν αὐτὴν προσαφαιρεθείς. Παραχρῆμα οὖν συλλαβὼν τὴν ἁγίαν παρθένον ὁ ἔπαρχος, ἐξήγαγεν αὐτὴν ἔξω τῆς πόλεως· καὶ κρεμάσας ἀντιστρόφως, ἔβαλεν ὑποκάτωθεν αὐτῆς θειαφώδεις καπνοὺς καὶ κνίσας ἐφ' ἱκανοῦ· εἶθ' οὕτως, ἑκατέρωθεν παραστήσας τοξότας καὶ λιθοβόλους, προσέταξε, τοὺς μὲν τοξεύειν, τοὺς δὲ λιθοβολεῖν. καὶ οὕτως ἡ ἁγία μάρτυς, τῆς καλῆς ὁμολογίας τὴν μαρτυρίαν ἐπλήρωσεν. Ὁ δὲ προμνημονευθεὶς πρεσβύτερος Θεοδόσιος παραμείνας ἐν τῷ τόπῳ, νυκτὸς ἐπιστάσης καὶ πάντων ἀναχωρησάντων, ἦρεν αὐτῆς τὸ καρτερικὸν καὶ πολύαθλον σῶμα, καὶ ἔθηκεν ὑπὸ γῆν ἐγγὺς τῆς πύλης τῆς πόλεως. ὁμοίως δὲ καὶ Χριστοδούλου τοῦ Αἰθίοπος ἀνερευνήσας καὶ εὑρών· ἦν γὰρ ἐῤῥιμμένον κἀκεῖνο, καὶ μέχρι τότε κείμενον ἐπὶ σχήματος, καὶ παρὰ μηδενὸς τῶν θηρίων καὶ τῶν πετεινῶν ὑπομεῖναν λώβην· κατέθετο ἐκ δεξιῶν τοῦ τάφου τῆς ἁγίας μάρτυρος, καὶ πολλοὶ τῶν τῆς πόλεως νυκτὸς ἐθεώρουν ἐν ἐκείνῳ τῷ τόπῳ στύλον φωτός, καὶ φωνὴν ἤκουον ὑμνῳδίας, καὶ ἐθαύμαζον, καὶ ἐπληροφόρουν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζει. Ταῦτα δὲ πάντα ἀπήγγειλε Θεοδόσιος καὶ οἱ λοιποὶ ἀδελφοὶ Ἰάσωνι καὶ Σωσιπάτρῳ καθεζομένοις ἐν τῇ φυλακῇ· οὐδεὶς γὰρ τῶν πιστῶν παρά τινος ἐκωλύετο θεωρεῖν αὐτούς. Μετὰ δὲ ταῦτα ἄγουσι καὶ τοὺς περὶ Σατορνῖνον ἔξω τῆς πόλεως, καὶ ὀρύξαντες βόθυνον, καὶ στήσαντες λέβητας, ἐμβαλόντες τε πίσσαν καὶ ἔλαιον καὶ κηρὸν ἐν αὐτοῖς προσμίξαντες, καὶ ὑφάψαντες πῦρ, ἐχάλων τοὺς ἁγίους ἐν τῷ βράσματι τῶν λεβήτων. καὶ οὕτω δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐτελειοῦντο. Ἐλθὼν δὲ ἐπὶ τὴν τελείωσιν ὁ μακάριος Σατορνῖνος προσηύξατο οὕτω, Κύριε Ἰησοῦ Χριστὲ ὁ σώσας λῃστὴν ἐπὶ σταυροῦ Θεόν σε ὁμολογήσαντα, σῶσον κἀμὲ τὸν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀνάξιον δοῦλόν σου· καὶ δεξάμενός μου τὴν ὁμολογίαν τῆς πίστεως, μνήσθητί μου ἐν τῃ βασιλείᾳ σου. Καὶ ἦλθε φωνὴ οὐρανόθεν, πάντων ἀκουόντων· Θάρσει καὶ ἀγάλλου μάρτυς τῆς ἀληθείας· εἰσηκούσθη γάρ σου ἡ προσευχή, δεῦρο λοιπὸν ἐν τοῖς κόλποις Ἀβραὰμ μετὰ τῶν ἑταίρων σου, καὶ ἀπολάμβανε τὸ στέφος τῆς ἀφθαρσίας. Ταύτης τῆς φωνῆς γενομένης, ἐπίστευσε τὸ πλεῖστον τῆς πόλεως τοῦ λαοῦ μέρος, καὶ πάντες μιᾷ φωνῇ ἔκραζον λέγοντες· Χριστιανοί ἐσμεν καὶ ἡμεῖς, ἀκουσάτω ὁ βασιλεὺς καὶ πάντες οἱ σὺν αὐτῷ. Τοῦτο ἰδὼν ὁ ἅγιος Σατορνῖνος, ἠγαλλιάσατο τῷ πνεύματι καὶ εἶπεν· Εὐχαριστῶ σοι Κύριε ὁ Θεός μου· εὐλογῶ καὶ ὑμνῶ καὶ δοξάζω τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐτάχυνας δεῖξαί μοι τῷ ἀναξίῳ δούλῳ σου τὰ θαυμάσιά σου. Καὶ χαλασθεὶς καὶ αὐτὸς ἐν τῷ λέβητι, ἐτελειώθη μετὰ τῶν λοιπῶν ἁγίων. Γυνὴ δέ τις τῶν εὐγενίδων ὀνόματι Ματρῶνα, σὺν Θεοδοσίῳ τῷ πρεσβυτέρῳ, καὶ πᾶσι τοῖς πιστεύσασι τῷ Χριστῷ, συγκομίσαντες παῤῥησίᾳ τὰ λείψανα τῶν ἁγίων μαρτύρων μετὰ ψαλμῶν καὶ ὕμνων καὶ τῆς προσφόρου λαμπροφορίας, κατέθεντο ἐν ἱερῷ τινι τῶν ἔξω τῆς πόλεως, ἐν ἑνὶ τύμβῳ, τὰ ἐν αὐτῷ συντρίψαντες εἴδωλα. Ταῦτα ἀκούσαντες οἱ ἅγιοι ἀπόστολοι Ἰάσων καὶ Σωσίπατρος ἐν τῇ φυλακῇ, ἐδόξαζον τὸν Θεὸν καὶ ἔλεγον· Ὄντως αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. Ὁ δὲ βασιλεὺς Κερκυλλῖνος ὁ θεομάχος καὶ παράνομος τύραννος, ὁ δεύτερός τε Φαραὼ καὶ τῆς τοῦ προτέρου ἀπωλείας συμμέτοχος, ἰδὼν ὅτι τὸ πλεῖστον τοῦ λαοῦ ἐπίστευσε τῷ Χριστῷ, μαθὼν δέ, ὅτι καὶ ἐν τῷ ναῷ τῶν θεῶν αὐτοῦ οἱ πιστοὶ κατέθεντο τῶν ἁγίων μαρτύρων τὰ λείψανα, καὶ τὴν συντριβὴν τῶν σεβασμάτων αὐτοῦ, ἐπλήσθη θυμοῦ. καὶ πρῶτον μὲν πυρὶ βουλεύεται κατακαῦσαι τῶν μαρτύρων τὰ λείψανα, καὶ τὴν τέφραν εἰς τὸν ἀέρα λικμῆσαι, ἔπειτα δέ, πάντας τοὺς πιστεύοντας ἄρδην ἀπολέσαι. Ἅπερ οἱ ἅγιοι ἀπόστολοι μαθόντες ἐν τῇ φυλακῇ, ἦραν φωνὴν ὁμοῦ πρὸς τὸν Θεὸν λέγοντες· Σὺ Κύριε δέσποτα πάντων, ὁ συντρίβων πολέμους ἐν τῇ ἰσχύϊ σου, ὁ διασκεδάζων βουλὰς ἐθνῶν καὶ ἀθετῶν λογισμοὺς λαῶν καὶ ἀρχόντων παρανομούντων, ἔπαρον τὴν χεῖρά σου ἐπὶ τὴν ὑπερηφανίαν τῶν ἀσεβῶν, καὶ μὴ ἐάσῃς αὐτοὺς κακῶσαι τὸν λαόν σου τοῦτον, ὃν προσεκαλέσω εἰς τὴν ἐπίγνωσίν σου, ἀλλὰ ῥῦσαι αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, διδοὺς αὐτῷ ἐν γῇ τὴν βοήθειάν σου, καὶ ἐν θαλάσσῃ τρίβον ἀσφαλῆ· ἵνα γνῶσι πάντες, ὅτι σὺ εἶ Θεὸς μόνος ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ – ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



οὐρανῷ καὶ ἐπὶ γῆς, ποιῶν θαυμάσια διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ. Καὶ ὡς ἦλθεν ὁ βασιλεὺς Κερκυλλῖνος μετὰ τῆς συγκλήτου πάσης ἐν τῷ ναῷ κατακαῦσαι τῶν ἁγίων μαρτύρων τὰ λείψανα, καὶ ἰδοὺ δράκων φοβερώτατος ὤφθη αὐτοῖς· καὶ πάντες ἔφυγον εἰς τὰ ὀπίσω. Οἱ δὲ πιστεύσαντες ἅπαντες, φοβηθέντες τὴν ἀπειλὴν τοῦ τυράννου, διέβησαν ἐν τῷ παρακειμένῳ τῇ πόλει νησιδίῳ·(1) καὶ πήξαντες ἐκεῖσε θυσιαστήριον, ἀνύμνουν τὸν Θεόν, τὴν παρ' αὐτοῦ σωτηρίαν καὶ λύτρωσιν ἐκδεχόμενοι. Μαθὼν δὲ καὶ τοῦτο ὁ ἀναίσθητος βασιλεύς, οὐδ' ὅλως ἐδυσωπήθη τῶν γεγονότων θαυμάτων τὸ μέγεθος· ἀλλ' ἀντιτάσσεται κατὰ τῆς δικαίας κρίσεως τοῦ Χριστοῦ, καὶ μὴ βλέπων τὴν ἐπηρτημένην αὐτῷ παρὰ τοῦ δικαίου κριτοῦ, ἐπὶ πάσῃ τῇ ἀσεβείᾳ ἣ ἐποίησεν, ἔνδικον μισθαποδοσίαν ὁ ἀνομήσας διακενῆς, ὥρμησε πλοὶ καὶ πανστρατὶ κατὰ τῶν πεπιστευκότων. Καὶ δὴ γενομένου κατὰ τὸ τοῦ πελάγους μέσον, εὐθέως κλόνος νεφῶν καὶ ἀέρος κίνησις ἄτακτος, βροντῶν τε ψόφοι τραχεῖς· στρόβιλοι δέ τινες εἰσβαλόντες σφοδρότατοι, καὶ κύματα βίαια ταῖς ναυσὶ προσαρασσόμενα, ἐξαίσιον αὐτῷ καὶ ἀφόρητον ἐνεποίουν τὸν κίνδυνον· τέλος, κατεποντίσθη μετὰ παντὸς αὐτοῦ τοῦ στρατεύματος εἰς τὸν βυθὸν τῆς θαλάσσης, ὡς ὁ πάλαι τύραννος Φαραώ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Ὁ δὲ πιστὸς λαός, θεωροῦντες τὴν ἀπώλειαν τοῦ παρανόμου βασιλέως καὶ τῶν στρατευμάτων αὐτοῦ, τὴν ἐπινίκιον ᾠδὴν συμφώνως ἀνέπεμψαν τῷ Θεῷ, λέγοντες· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν. Καὶ ἔχαιρον ἐπὶ πᾶσι τοῖς γενομένοις αὐτοῖς ἀγαθοῖς ὑπὸ τοῦ Θεοῦ. Ἰάσων δὲ καὶ Σωσίπατρος οἱ ἅγιοι τοῦ Κυρίου ἀπόστολοι, ἐξελθόντες καὶ αὐτοὶ ἐκ τῆς φυλακῆς, ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας, καὶ ἐπεστήριζον τοὺς πιστεύοντας· τότε δὴ τότε, καὶ τὸν φανέντα δράκοντα, διὰ προσευχῆς αὐτῶν ἐποίησαν ἀφανῆ. Ἀνέστη δὲ ἕτερος βασιλεὺς Δατιανὸς τοὔνομα· καὶ ἀναμαθὼν τὰ παρὰ τῶν ἁγίων γενόμενα, καὶ τὴν παρακολουθήσασαν πᾶσαν τῶν μαρτύρων ἐξέτασιν, ἐκέλευσεν αὐτοὺς παραστῆναι αὐτῷ. καὶ φησί· Εἴπατέ μοι, πόθεν ὑμῖν τοσαύτης θρασύτητος καὶ τόλμης ἐγγινομένης, τοιαῦτα διδάσκετε καὶ τολμᾶτε; ἀκούω γὰρ παρὰ πολλῶν τὰ καθ' ὑμᾶς· καὶ

---

(1) Νομίζομεν οὐκ ἀπεικότως ὅτι τὸ νησίδιον τοῦτο ἦτο τὸ π. φρούριον, ὅπερ ἐχωρίζετο ὡς καὶ νῦν, καὶ ὅτι ὁ Κερκυλλῖνος ἐπνίγη εἰς τὸν κόλπον τοῦ Ἀνεμομύλου καὶ Γαρίτσης (Σ. Ἐκδ.)

ὡς ἐναντία τῶν ἀρχαίων ἐθῶν, καὶ τῆς τῶν θεῶν προνοίας ἀλλότρια, οὐδαμῶς ἀποδέχομαι· οὐδὲ γὰρ ἀγαθὸν ἐμοὶ φαίνεται, τὴν πατρῴαν παρωθεῖν εὐδαιμονίαν, καὶ ἀντεισφέρειν καινά, προσανέχειν ἐσταυρωμένῳ Θεῷ. Ὁ ἅγιος Ἰάσων εἶπεν· Εἴ σου καθαρὰς τὰς τῆς ψυχῆς αἰσθήσεις ἐκέκτησο, καὶ πρὸς διάκρισιν ἐπιτηδείας καλοῦ τε καὶ κακοῦ, ἐδείξαμεν ἄν σοι τὸν ἐσταυρωμένον τοῦτον Θεὸν ὄντα ἀληθινὸν καὶ δεσπότην, ἑκουσίως μὲν διὰ τὴν ἡμετέραν σωτηρίαν παθόντα, ἀπαθῆ δὲ μείναντα τῇ θεότητι. Ὁ βασιλεὺς εἶπε· Προσῆκόν ἐστι τοῖς πάσῃ τῇ οἰκουμένῃ γνωριζομένοις θεοῖς, τούτοις λατρεύειν καὶ ὑμᾶς, καθὰ καὶ οἱ καθ' ἡμᾶς θεολόγοι παρέδοσαν, Ὀρφεύς, Ὅμηρος, Ἡσίοδος καὶ οἱ λοιποὶ σοφοί· ἀρτιφανῆ δὲ Θεόν, καὶ μάλιστα ὑπὸ δίκην ἀχθέντα καὶ ἀποθανόντα, καὶ ἐν μνημείῳ τεθέντα, μήτε προσκυνεῖν μήτε σέβειν, τὰς ματαίας οὖν καὶ ἀσαφεῖς ταύτας βαττολογίας ἐάσαντες, πείσθητέ μοι, καὶ θύσατε τοῖς θεοῖς, εἰ δὲ ἀπαγορεύετε τοῦτο, ἀναγκάσαι με ἔχετε βασάνοις ὑμᾶς ἀναλῶσαι πικραῖς. Οἱ ἅγιοι εἶπον· Ὃ βούλει ποιεῖν, ποίει· ἡμεῖ γὰρ εἰδώλοις νεκροῖς οὐ προσκυνοῦμεν, ἀλλὰ Χριστῷ τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα γέγονε συνεργίᾳ τοῦ ἁγίου Πνεύματος· ᾧ καὶ λατρεύομεν καὶ τὴν ἀληθινὴν θυσίαν προσφέρομεν· Χριστῷ, ᾧ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται. Ὁ βασιλεὺς εἶπε· Τὸ πολυλογεῖν ἐν τούτοις, οὐκ εὔχρηστον Καὶ εὐθέως κελεύει ἐνεχθῆναι βουτίον σιδηροῦν, καὶ ἐμβληθῆναι ἐν αὐτῷ στυππίον καὶ πίσσαν καὶ κηρόν, καὶ κατακλεισθῆναι τὸν ἅγιον Σωσίπατρον ἐν αὐτῷ, καὶ οὕτω πυρὶ φλεχθέντα, τὸ πέρας τοῦ βίου λαβεῖν. Καὶ λέγει πρὸς τὸν ἅγιον Ἰάσωνα· Τὰς μενούσας σε τιμωρίας, δεῖ σε πρότερον ἐν τῷ τοῦ κηρύγματος ἰσηγόρῳ τεθεωρηκέναι, εἶθ' οὕτως ταύτας ὑποστῆναι, ἵνα παγιωτέραν ἐπιδείξῃ τὴν καρτερίαν. Ὁ δὲ ἅγιος Σωπίπατρος κατασφραγίσας ἑαυτόν, καὶ εὐξάμενος, καὶ εἰπὼν τό, Ἀμήν, εἰσῆλθεν ἐν τῷ βουτίῳ· καὶ οὕτω, τῆς φλογὸς ἀναφθείσης, ἐτελειώθη ἐν Κυρίῳ μηνὶ Ἀπριλίῳ κή. Ἡ δὲ φλὸξ διοδεύσασα, ἐνεπύρισε τῶν κύκλῳ παρεστώτων πολλούς· οἱ δὲ λοιποὶ ἔκραζον· Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Καὶ ἐθρήνουν ἅπαντες ἐπὶ τῷ μακαρίῳ Σωσιπάτρῳ, λέγοντες· Κακὴ κρίσις τοῦ βασιλέως. Καὶ ἦν πάντων βοὴ μία καὶ θρῆνος εἷς. Τότε ὁ βασιλεὺς ἰδὼν τὴν τοῦ λαοῦ παντὸς ἐπὶ τῷ δικαίῳ συμπάθειαν, καὶ ἐφ' οἷς πεποίηκε μεταγνούς,



ἤρξατο καὶ αὐτὸς θρηνεῖν· καὶ λίθον βαρὺν κρεμάσας ἐπὶ τοῦ τραχήλου αὐτοῦ, ἐβόα λέγων· Ὁ Θεὸς Ἰάσωνος καὶ Σωσιπάτρου ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ συγχώρησόν μοι τὰς ἁμαρτίας μου. ἅγιε Σωσίπατρε δεήθητι τοῦ Θεοῦ σου ὑπὲρ ἐμοῦ, ἵνα μοι συγχωρήσῃ τὴν ἁμαρτίαν, ἣν ἔπραξα, ἀδίκως σε παραδοὺς τῷ πυρί. Καὶ λέγει πρὸς τὸν ἅγιον Ἰάσωνα· Ἀπὸ τοῦ νῦν Χριστιανός εἰμι κἀγώ, καὶ τῆς σῆς διδασκαλίας ὑπήκοος. Ὁ δὲ ἅγιος Ἰάσων, εὐχαριστήσας τῷ Θεῷ ἐπὶ τῇ ταχίστῃ τοῦ βασιλέως ἐπιστροφῇ, εἶπε πρὸς τὸν λαόν· Δεῦτε ἀδελφοί, κηδεύσωμεν τὸ σῶμα τοῦ τρισμάκαρος καὶ μάρτυρος Σωσιπάτρου, καὶ δοξάσωμεν τὴν δύναμιν τοῦ Χριστοῦ. Καὶ ἐλθόντες ἔνθα ἦν κείμενον τὸ τίμιον λείψανον, εὗρον αὐτὸ σῶον καὶ ὁλόκληρον, ὡς μηδὲ τρίχα κυριευθῆναι ὑπὸ τοῦ πυρός. καὶ τοῦτο οἱ ὄχλοι θεασάμενοι, ἐπὶ πλεῖον ἐστηρίχθησαν εἰς τὴν πίστιν, καὶ ἐστηρίζοντο. Κηδεύσαντες δὲ αὐτὸ μετὰ τῆς πρεπούσης τιμῆς, κατέθεντο ἐν ἐπισήμῳ τόπῳ, εἰς τὸ προσαρκτῷον μέρος τῆς πόλεως, πλησίον τοῦ λιμένος· καὶ παρευθὺς ὁ ἅγιος Ἰάσων ἤγαγε καὶ τοὺς ἐν τῷ μικρῷ νησιδίῳ εἰς τὴν πόλιν, καὶ πάντας τοὺς διασκορπισθέντας ἐπισυνήγαγεν. Καὶ ἁγιάσας κολυμβήθραν, ἐβάπτισε τὸν βασιλέα, ἐπονομάσας αὐτὸν Σεβαστιανόν. ἐβάπτισε δὲ καὶ τοὺς πιστεύσαντας ἅπαντας, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ἀπὸ τότε γεγόνασι Χριστιανοὶ οἱ τῆς Κερκυραίων νήσου οἰκήτορες· καὶ ἐβαπτίζοντο. Μετὰ δὲ ταῦτα ἤρξαντο οἰκοδομεῖν ναοὺς ἱεροὺς ἔν τε τῇ πόλει καὶ ἐν πάσῃ τῇ νήσῳ, τὰ εἴδωλα καταστρέφοντες, καὶ τὰ ἱερὰ αὐτῶν καταφρονοῦντες καὶ βδελυσσόμενοι· καὶ αὐτὸς δὲ ὁ βασιλεὺς ᾠκοδόμησε τὸν ναὸν τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου, ἐν αὐτῷ τῷ τόπῳ ἔνθα καὶ κετετέθη τοῦ ἁγίου Σωσιπάτρου τὸ λείψανον· ὁμοίως καὶ τὴν μεγάλην ἐκκλησίαν, ἧς ἐξ εὐωνύμων κελλίον μικρὸν δομησάμενος ὁ βασιλεύς, καὶ ἐκεῖσε ἑαυτὸν κατακρύπτων, προσηύχετο. ἐν ᾧ καὶ μετ' ὀλίγον χρόνον, μακαρίως καὶ ἐνδόξως τελειωθείς, ὁ ἅγιος Ἰάσων αὐτὸν ἐνταφιάσας πάνυ πρεπόντως, κατέθετο αὐτὸν ἐν ἐπισήμῳ τόπῳ, καθὰ καὶ προσέταξεν. Ἡ δὲ βασίλισσα, ἡ τοῦ μακαρίου τούτου Σεβαστιανοῦ γυνή, υἱὸν ἔχουσα μονογενῆ ὡς ἐτῶν δώδεκα, ἀῤῥωστίᾳ περιπεσόντα καὶ ἀποθανόντα, πίστει ἀδιστάκτῳ προσελθοῦσα τῷ ἁγίῳ Ἰάσωνι ἐδέετο αὐτοῦ λέγουσα· Δοῦλε τοῦ Θεοῦ τοῦ ὑψίστου, οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, ἀνυπερθέτως παρέχει σοι. μὴ οὖν ἀπαξιώσῃς ἐλθεῖν καὶ ἐπισκέ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ψασθαι τὸ τεθνηκός μου παιδίον, καὶ προσεύξασθαι, ὅπως ἀναστῇ· πιστεύω γὰρ ὅτι τῇ προσευχῇ σου ἀναστήσεται. Ὁ δὲ ἅγιος Ἰάσων εἶπεν αὐτῇ· Ὦ γύναι, ὑπὲρ τὴν ἐμὴν δύναμιν ᾔτησας, πλὴν τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατα ἐστίν. Καὶ ἠκολούθησεν αὐτῇ ὁ ἅγιος· καὶ στὰς παρὰ τῇ κλίνῃ καὶ ποιήσας εὐχήν, ἐκράτησε τῆς χειρὸς τοῦ τεθνηκότος παιδίου, καὶ εἶπεν· Ὦ παιδίον, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ, ἀνάστηθι ἐξ αὐτῆς. Καὶ ἀνεκάθισε παραχρῆμα τὸ παιδίον, καὶ ἤρξατο λαλεῖν, ἐξέστησαν δὲ πάντες ἐπὶ τῷ γεγονότι σημείῳ, καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες· Ὅτι ὄντως τὰ σημεῖα ταῦτα, Θεοῦ ἀληθινοῦ εἰσίν. Ἄλλη δέ τις γυνὴ τῶν περιφανῶν, ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένη, ἀκούσασα ὅτι τὸν υἱὸν τοῦ βασιλέως ὁ ἅγιος Ἰάσων ἤγειρε θανόντα, ἦλθε καὶ αὐτὴ καὶ προσέπεσεν αὐτῷ, ἀξιοῦσα καθαρισθῆναι τῶν ἐμφωλευόντων ἐν αὐτῇ πονηρῶν πνευμάτων. Ὁ δὲ ἀπόστολος τοῦ Χριστοῦ, ὡς τὴν κατ᾽ αὐτῶν ἐξουσίαν ἔχων, ποιήσας εὐχὴν ἐπ᾽ αὐτῇ, καὶ σφραγίσας αὐτὴν τῷ σημείῳ τοῦ σταυροῦ, πάραυτα μὲν τὰ δαιμόνια ἐφυγάδευσεν· ἡ δὲ γυνὴ γέγονεν ὑγιής, καὶ ἀπῆλθεν εὐχαριστοῦσα τῷ Θεῷ. Πολλοὺς δὲ καὶ ἄλλους πάσχοντας ὑπὸ δαιμόνων καὶ νοσοῦντας, ἰᾶτο τῇ τοῦ Θεοῦ χάριτι τῇ δοθείσῃ αὐτῷ ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ οἱ θεραπευόμενοι δὲ πάντες ἐδιδάσκοντο, μὴ τῷ Ἰάσωνι εὐχαριστεῖν, ἀλλὰ μόνῳ τῷ Κυρίῳ. Καὶ ἦν χαρὰ πολλὴ ἐν τῇ πόλει καὶ πάσῃ τῇ νήσῳ, τῆς πίστεως προκοπτούσης καθ᾽ ἡμέραν, καὶ τῶν εἰδώλων περιφρονουμένων, καὶ τοῦ Κυρίου δοξαζομένου διὰ τῶν ἐπακολουθούντων σημείων. πλήρης γὰρ ὑπάρχων ὁ ἀνὴρ Πνεύματος ἁγίου καὶ χάριτος, πάντας εἷλκε πρὸς ἑαυτόν· βαπτίζων, διδάσκων, νουθετῶν, παραινῶν, παρακαλῶν, ἔστι δ᾽ ὅτε καὶ ἐπιτιμῶν καὶ ἐπιπλήττων. Ἐπιβιοὺς δὲ χρόνους ἱκανούς, ἐν μιᾷ νυκτὶ προσευχόμενος, θείας τινὸς ἤκουσε φωνῆς λεγούσης πρὸς αὐτόν· Χαῖρε καὶ εὐφραίνου δοῦλε ἀγαθὲ καὶ πιστέ· δεῦρο ἀπολάμβανε τὴν οὐράνιον βασιλείαν, σὺν Σωσιπάτρῳ τῷ σῷ ἀδελφῷ, εἰς ὅλους αἰῶνας. Ταύτης τῆς φωνῆς ἀκούσας, καὶ περιχαρὴς γεγονώς, ἔπεσεν ἐπὶ πρόσωπον εὐχαριστῶν τῷ Θεῷ, ἐποίησε δὲ τὴν λάρνακα αὐτοῦ πλησίον τοῦ ἁγίου Σωσιπάτρου, ἐντειλάμενος τοῖς ἀδελφοῖς, αὐτόθι μετὰ κοίμησιν καταθέσθαι αὐτόν. Προσκαλεσάμενος δὲ τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας καὶ πάντα τὸν λαόν, παρήγγειλε πᾶσι προσέχειν ἑαυτοῖς, καὶ ἐμμένειν ἐν τῇ πίστει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ



Χριστοῦ, καὶ ἔχειν ἀγάπην ἐν ἀλλήλοις καὶ συμφωνίαν, ποιεῖν τε ἐλεημοσύνας, καὶ ἀντέχεσθαι τῶν ἀσθενῶν, καὶ χαίρειν ἐπὶ τῇ τῶν μελλόντων ἐλπίδι, καὶ ἐνθυμεῖσθαι ἀεὶ τὰς ἐν οὐρανῷ μονάς. Καὶ οὕτως ἀνακλίνας ἑαυτὸν ἐν ᾧ εἰώθει κατακλίνεσθαι τόπῳ, νόσῳ μικρᾷ περιπεσών, εἰς τὸν γλυκὺν καὶ μακαριστὸν ὕπνον ἐκλήθη, μηνὶ Ἀπριλίῳ εἰκάδι ἐννάτῃ, ζήσας ἔτη περὶ τὰ ἑξήκοντα, ὡς λόγος, καὶ πρός. Ἦν δὲ τῷ γένει Θεσσαλονικεύς. ὁ δὲ ἅγιος Σωσίπατρος, ἐκ τῆς Ἀχαΐας ὥρμητο. Τούτων δὲ μέμνηται ὁ ἅγιος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. Ἀσπάζονται ὑμᾶς, λέγων, Τιμόθεος ὁ συνεργός μου καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. Οἱ δὲ ἱερεῖς σὺν παντὶ τῷ πλήθει κηδεύσαντες ἐντίμως τὸ τίμιον λείψανον τοῦ ἁγίου Ἰάσωνος, καθὰ δέδωκεν αὐτοῖς ἐντολάς, ἔθηκαν πλησίον τοῦ ἁγίου Σωσιπάτρου, κοινοὺς φύλακας καὶ πρὸς Θεὸν μεσίτας ἀμφοτέρους ταῖς μετέπειτα γενεαῖς θησαυρίσαντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ ἅγιοι ἑπτὰ μάρτυρες οἱ πρῴην λῃσταί, οἱ διὰ τοῦ ἁγίου Ἰάσωνος πιστεύσαντες τῷ Χριστῷ, ἐν λέβητι πίσσης καχλαζούσης βληθέντες τελειοῦνται.

Στίχοι.

Λῃσταὶ μαθόντες τὴν Ἐδὲμ λῃστοῦ λάχος,
πίσσῃ λαχεῖν ἔσπευσαν αὐτὴν ἐμφλόγῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἁγία Κερκύρα ἡ θυγάτηρ Κερκυλλίνου τοῦ βασιλέως βέλεσι κατατρωθεῖσα τελειοῦται.

Στίχοι.

Βελῶν βασιλὶς ταῖς βολαῖς ἐστιγμένη,
ἐκ στιγμάτων ἔλαμψεν ὡς ἐκ μαργάρων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ ἅγιοι μάρτυρες Ζήνων καὶ Βιτάλιος πυρὶ τελειοῦνται.

Στίχοι.

Μὴ δειλιάσῃς Βιτάλιε πρὸς φλόγα·
ἡγήσομαι γὰρ καὶ προεισέλθω Ζήνων.

Ὁ ἅγιος μάρτυς Εὐσέβιος πυρὶ τελειοῦται.

Στίχοι.

Ἐκ σοῦ τὸ πῦρ ὁποῖον ἐκσμήξει ῥύπον,
ὄβρυζον Εὐσέβιε Χριστοῦ χρυσίον ;

Ὁ ἅγιος μάρτυς Νέων πυρὶ τελειοῦται.

Στίχοι.

Θεοῖς λατρεύειν μὴ θέλων Ἑλληνίοις,
καθεῖλε καυθεὶς πίστιν Ἑλλήνων Νέων.

Ζήνων ὁ τοῦ Χριστοῦ μάρτυς, ἅμα τοῖς ἁγίοις Εὐσεβίῳ, Νέωνι, καὶ Βιταλίῳ, ὑπῆρχον μὲν ἐκ τῆς νήσου Κερκύρας, κατηχηθέντες δὲ ὑπὸ τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου, ἐπίστευσαν τῷ Χριστῷ. Καὶ διαβληθέντες Κερκυλλίνῳ τῷ τῆς νήσου βασιλεῖ, ἐκρατήθησαν· καὶ δεθέντες ὑπὸ τῶν εἰδωλολατρῶν ἁλύσεσι βαρείαις, παρέστησαν ἐνώπιον αὐτοῦ. Καὶ ἐρωτηθέντες, καὶ ὁμολογήσαντες τὸν Χριστόν, γυμνωθέντες τῶν ἱματίων αὐτῶν, καὶ ἐπὶ τὴν γῆν ἁπλωθέντες, καὶ δεθέντες χεῖρας καὶ πόδας σχοινίοις, ἐτύφθησαν ῥάβδοις. ἐπὶ πολλαῖς τε ὥραις καταναγκασθέντες ἀρνήσασθαι μὲν τὸν Χριστόν, θῦσαι δὲ τοῖς εἰδώλοις, μὴ πεισθέντες δέ, μηδὲ μέχρι λόγου θῦσαι τοῖς δαίμοσιν, ἀπεκλείσθησαν εἰς φυλακὴν ὡσεὶ νεκροί, καὶ μετὰ ταῦτα καμίνου μεγάλης ἀναφθείσης, τῆς φυλακῆς ἐκβληθέντες, καὶ ἐν αὐτῇ ἐμβληθέντες, ἐτελειώθησαν.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Τοῦ πρώτου φωτός, τὰς ἀκτῖνας ὁ σοφὸς Παῦλος δεξάμενος, ὑμᾶς Ἰάσων ἱερώτατε, καὶ θεοφόρε Σωσίπατρε, δευτεροφανῶς καταυγάζει, διδαχαῖς ἀναμέλποντας· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἡλίου σοφοί, ἐπὶ γῆς τοῦ αἰσθητοῦ ὁδὸν ἐδράμετε· ἀνατολὴν γὰρ καταλάμψαντες, πρὸς δύσιν φθάσαντες ἔδυτε, σώματι φαιδρῷ· πρὸς Θεὸν δέ, ἀνυψώσαντες πνεύματα, ὑμνολογεῖτε νῦν αὐτόν, ὡς τῶν πατέρων Θεόν.

Ἰάσων στεῤῥέ, καὶ Σωσίπατρε κλεινὲ ὡς παριστάμενοι, τῷ θείῳ θρόνῳ μὴ ἐλλείπητε, ἐξευμενίζειν τὸν Κύριον, ῥύσασθαι ἡμᾶς τῶν κινδύνων, τοὺς ἀνυμνοῦντας καὶ ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτ.

Προστάτιν θερμόν, τὴν τεκοῦσάν σε Χριστὲ Παρθένον ἔδωκας, τοῖς ἐν ἀνάγκαις περιπίπτουσι, ταῖς τῶν δεινῶν περιστάσεων· ῥῦσαι οὖν ἡμᾶς εὐχαῖς ταύτης, τῶν κινδύνων τοὺς ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ρυπαροὺς ἡμᾶς ὄντας, ἐν Κερκύρᾳ τὸ πάλαι πάντας ἀπένιψαν, Σωσίπατρος ὁ θεῖος, Ἰάσων ὁ κλεινός τε, τῷ βαπτίσματι ψάλλοντας· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς ἁγίας.

Ἱκετήριον αἶνον, σοὶ Κερκύρα ᾄδομεν· οἱ Κερκυραῖοι σεπτῶς, ὡς ἐπινυμφευθείσῃ, Χριστῷ τῷ εὐεργέτῃ, καὶ βοώσῃ τῷ κτίστῃ σου· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Σωματούμενον Λόγον, ἴσμεν ἐπ' ἐσχάτων σε τὸν προαιώνιον, ἀχρόνως ἐκ Πατρός τε, σὺν Πνεύματι τῷ θείῳ, προελθόντα καὶ ψάλλομεν· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν. Θεοτ.

Ἤρτηται σῶν αἱμάτων, Θεοτόκε Μαρία ὁ φύσει ἄϋλος, καὶ ἄσαρκος οὐσία, ἑνούμενος, ἀῤῥήκτως, εὐδοκίᾳ θεότητος, ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογημένη.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ὠδὴ ή. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡραιωθέντες καλλοναῖς, τοῦ τῆς χάριτος σοφοὶ εὐαγγελίου, πόδας ὤφθητε πάντα, τὴν ὑπερέχουσαν νοῦν, εἰρήνην εὐαγγελιζόμενοι, ὅθεν ἀνυμνεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν φιλοσόφων τὰς πλοκάς, διελύσατε σοφῶς θεολογοῦντες, τρισυπόστατον φύσιν, μύσται τοῦ Λόγου σεπτοί, καὶ κόσμον ὅλον ἐφωτίσατε, μέλπειν καὶ δοξάζειν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὃ συνεστήσατε σοφοί, Χριστοῦ ποίμνιον ἐν πόλει τῆς Κερκύρας, περισκέπεσθαι πάλιν, καὶ ἀβλαβὲς συντηρεῖν, πρεσβείαις ὑμῶν μὴ ἐλλείπητε, ταῖς πρὸς τὸν δεσπότην, ἀπόστολοι Κυρίου.

Θεοτοκίον.

Σὲ Θεοτόκον ἀληθῆ, ὀνομάζοντες ἁγνὴ ὁμολογοῦμεν, τὸν ἐκ σοῦ σαρκωθέντα Λόγον ἀφράστως διπλοῦν, τὴν φύσιν, ἀλλ᾿ οὐ τὴν ὑπόστασιν. καὶ ὑπερυψοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Δοξολογίαις σήμερον, τὸν ἐν ὕψει καθήμενον, ἐπὶ θρόνου δόξης, λατρικαῖς ὑμνοῦμέν σε, ὡς μέτοχοι χάριτος, τῆς ἐκδοθείσης ἡμῖν σεπτῶς, τοῖς τῶν ἀποστόλων θεοπνεύστοις λογίοις· ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαὸς ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Τῶν ἁγίων ἑπτὰ λῃστῶν.

Ἑπταπλασίοις μάρτυσι, Κερκυραίων ὁ τύραννος, ὡς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε, ῥητίνην ἐν λέβητι, καὶ θεῖον ἅμα μετὰ κηροῦ, τῷ δημιουργῷ καὶ λυτρωτῇ ἐκβοῶσιν· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖται, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.



Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Φῶς τὸν Πατέρα ἄναρχον, φῶς Υἱὸν ὁμοούσιον, φῶς ὁμοῦ τὸ Πνεῦμα τῇ φύσει συνάναρχον· φῶς ἐν τῇ θεότητι, κἂν τρία φῶτα προσωπικῶς, ὡς ἔφη δυὰς τῶν συγγενῶν τῶν τοῦ Παύλου· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπάτορά σε τέτοκεν, ἡ παρθένος τὸν λάμψαντα, πάντων πρὸ αἰώνων ἐκ Πατρὸς ἀμήτορα, βροτόν, ὡς εὐδόκησας φιλανθρωπίᾳ θείᾳ σωτήρ. ὅθεν σοι πιστῶς σὺν τῇ Κερκύρᾳ βοῶμεν· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸν ἐπὶ γῆς τοὺς ἁγίους, μεγαλύναντα Λόγον Θεοῦ, καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς τὸν αἰῶνα δοξάσαντα, καὶ νῦν ἐν τοῖς ὑψίστοις, κατέχοντα τὰ πνεύματα αὐτῶν, ἐν χειρὶ τῇ οἰκείᾳ ἀπαύστως μεγαλύνομεν.

Τελειωθέντες θεόπται, ἐν ὀλίγῳ πληροῦτε, ἐν τόποις φωτεινοῖς χρόνους μακρούς, ἔνθα χαρὰ ἀνεκλάλητος, καὶ ἀΐδιος δόξα, καὶ φῶς τὸ καταλάμπον ὡς Θεός, τοῦ φωτὸς τοὺς ἀξίους, ὑπὲρ ἡμῶν πρεσβεύοντας.

Νῦν εὐφημοῦντες θεόπται, δυσωποῦμεν ἐν ὕμνοις, ὑμᾶς ὡς κυβερνήτας ἱερούς, ὑπὲρ εἰρήνης τοῦ σύμπαντος, ἱκετεύσατε κόσμου, καὶ εὐσταθείας τῶν ἐκκλησιῶν, καὶ ἡμῶν σωτηρίας, Ἰάσων καὶ Σωσίπατρε.

Θεοτοκίον.

Θεοκυῆτορ παρθένε, σαῖς ἀλήκτοις πρεσβείαις, κατάβαλε τὰ θράση τῶν ἐθνῶν, τῶν τοὺς πολέμους ζητούντων ἀεί, βασιλεῖ φιλοχρίστῳ, βραβεύουσα τὰς νίκας κατ᾿ ἐχθρῶν, ἵνα σε κατὰ χρέος, ἐν ὕμνοις μεγαλύνωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἄλλος. Κυρίως Θεοτόκον.

Ἰσχύϊ εὐσπλαγχνίας, τοῦ ἐν τοῖς ὑψίστοις, ἡ Κερκυραίων πληθὺς διεσώθημεν, τῶν μαθητῶν συνεργίᾳ, Χριστὸν δοξάζοντες.

Τῆς ἁγίας.

Ἀπαύστως σε Κερκύρα, Κερκυραίων δῆμος, ὁ σὸς προστάτιν ἐν ᾄσμασι σέβομεν, ὡς διὰ σοῦ σεσωσμένοι, μάρτυς πολύαθλε.

Ξενίζων ὤφθη πάλαι, Ἀβραὰμ ἀγγέλων μορφῇ, Τριάδα τὴν ὄντως ὑπέρθεον, ἣν ἐν Πατρὶ προσκυνοῦμεν, Λόγῳ, καὶ Πνεύματι.

Καὶ νῦν. Θεοτοκίον.

Μετὰ τῆς Θεοτόκου, Σωσίπατρε θεῖε, κλεινὲ Ἰάσων, Κερκύρα μου μέμνησθε, ἐπὰν χωρίσῃ τοῦ σκήνους, Χριστὸς τὸ πνεῦμά μου.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον τῶν ἀποστόλων.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ παμφαὴς καὶ θεία, τῶν ἀποστόλων ἑορτή, τῶν Κερκυραίων τὰ πλήθη, πρὸς εὐωχίαν συγκαλεῖ. δεῦτε κορέσθητε πάντες, πνευματικῆς εὐφροσύνης.

Τῶν μαρτύρων. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τῷ θρόνῳ παμμακάριστε, τοῦ Χριστοῦ παρεστῶσα, ὡς μαρτυρίου στέφανον, εἰληφυῖα Κερκύρα, Ἰακισχόλῳ σὺν θείῳ, ὁμοῦ τε καὶ Μαρσαλίῳ, Σατορνίνῳ τε καὶ Ἰανουαρίῳ, Φαυστιανῷ, Εὐφρασίῳ, Κερκυραίων φωστῆρσι, κλεινοῖς τε πρωτομάρτυσι, μνείαν σῶν ποιοῦ δούλων.

Καὶ τῆς ἑορτῆς.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τὸ ἀναστάσιμον τῆς ἡμέρας, δίς. εἶτα τὰ δ΄. προσόμοια τῶν ἁγίων.



Ἦχος ά. Πανεύφημοι μάρτυρες ὑμᾶς.

Πάντα κατελίπετε τερπνά, Χριστὸν ἀγαπήσαντες· οὗ τὰς ψυχὰς ἐκολλήθητε, ὀπίσω ἔνδοξοι· ἴχνεσι τοῖς τούτου, πίστει προσηνέχθητε, Ἰάσων καὶ Σωσίπατρε πάνσοφοι. ᾧ καὶ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἰάσων, Σωσίπατρε ψυχήν, τὴν ἐμὴν φωτίσατε, ἐσκοτισμένην τοῖς πάθεσιν, οἱ τὸν περίγειον, διδαχαῖς ἐνθέοις, κόσμον καταλάμψαντες, καὶ σκότος τῶν εἰδώλων μειώσαντες, καὶ προσενέγκαντες, γένος ἅπαν τὸ ἀνθρώπινον, σεσωσμένον, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Χριστὸς ὁ Θεὸς ὑμᾶς σοφοί, Ἰάσων, Σωσίπατρε, τοὺς πλανωμένους ἀπέστειλεν, ἀνακαλέσασθαι, καὶ πρὸς σωτηρίαν, πάντας καθωδήγησεν, ὑμῶν τοῖς θεοσόφοις διδάγμασιν. ᾧ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ὑμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Κερκύραν τὴν πάνσεμνον ἡμῶν, βασιλίδα σήμερον, οἱ ἐν Κερκύρᾳ τιμήσωμεν, ὡς ἐκτελέσασαν, τὸν τοῦ μαρτυρίου, δρόμον καρτερώτατα, καὶ μόνον τὸν Χριστὸν ἀγαπήσασαν. ᾧ καὶ πρεσβεύει νῦν, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος ά.

Τὰ ἐν Κερκύρᾳ δεσμά, καὶ τὰς ἀπείρους ὑμῶν τίς διηγήσεται θλίψεις, ἔνδοξοι ἀπόστολοι; ἢ τίς παραστήσει τοὺς ἀγῶνας ὑμῶν, οὓς κεκοπιάκατε ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ; οὐ μόνον ὡς Ταρσὸν σὺν Ἰκονίῳ κερδήσητε, ἀλλὰ καὶ ταύτην ἡμῶν Χριστῷ τὴν πόλιν προσάξητε. (1) Αὐτῷ οὖν πρεσβεύσατε φυλάττειν ἐν ἡμῖν, τὴν καλὴν ὑμῶν ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, Ἰάσων καὶ Σωσίπατρε, διδάσκαλοι τῶν ἐκκλησιῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τυπικά, καὶ τοῦ Πάσχα ἡ γ΄. ᾠδή, καὶ τῶν ἁγίων ἡ ϛ΄.

(1) Κάλλιον θὰ ἦτο ἐὰν ἐτίθετο ὁ τύπος ἀγάγητε ἢ ὡς ἔχει *προσάξητε*, ὅστις οὐχ ὑπάρχει τόσον εὔχρηστος· (Σημ. Ἐκδ.)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Προκείμενον τοῦ ἀποστόλου. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ ἀπόστολος. Πρὸς Ῥωμαίους

Ἀδελφοί, παρακαλῶ ὑμᾶς σκοπεῖν τοὺς τὰς διχοστασίας.

Ζήτει τῇ β'. τῆς ς'. ἑβδομάδος.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα μαθητάς.

Ζήτει τῇ παρασκευῇ τῆς ε. ἑβδομάδος Λουκᾶ.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Μεγαλυνάριον.

Χαίροις ἀποστόλων ἡ ξυνωρίς, χαίρετε, Ἰάσων καὶ Σωσίπατρε, οἱ σοφοί· χαίροις ἡ Κερκύρα, Χριστοῦ παρθενομάρτυς· ἡ Κερκυραίων χαίροις, τριὰς σωτήριος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ
## ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΑΡΣΕΝΙΟΥ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΕΡΚΥΡΑΣ

Τῇ ιθ'. Ἰανουαρίου μηνός,

## ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΥ

## ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΕΡΚΥΡΑΣ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα, Ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.

ἦχος, δ'.

Ὢ, γενναῖον ἐν Μάρτυσιν.

Ἐξ ἑώας ἀνέτειλας, ὡς Ἀστὴρ φαεινότατος, καὶ φωτὸς ἐνέπλησας τὰ ἑσπέρια. Τὰ γὰρ ὀρθόδοξα δόγματα διδάσκεις τῆς Πίστεως, Κερκυραίων τὴν πληθύν, ὡς ποιμὴν ἀληθέστατος. Ὅθεν σήμερον, συνελθόντες προθύμως ἀνυμνοῦμεν, τὴν σεπτὴν καὶ θείαν μνήμην, τὴν σὴν παμμάκαρ Ἀρσένιε.

Τὴν σεπτήν σου πανήγυριν, ἐκτελοῦντες Ἀρσένιε, τὴν σορόν σου ἅπαντες προσπτυσσόμεθα· καὶ προσκυνοῦμεν τὰ λείψανα, τοὺς πόνους σου σέβοντες, καὶ τιμῶντες εὐσεβῶς, τοὺς ἀγῶνάς σου Ὅσιε, χάριν ἔνθεον, ἀρυόμεθα πόθῳ ἐκβοῶντες· σῶσον πάντας ταῖς εὐχαῖς σου, καὶ τῆς κολάσεως λύτρωσαι.

Ὀρφανῶν Πατὴρ γέγονας, καὶ πτωχῶν πλοῦτος ἕτοιμος, ἰατρὸς νοσούντων τε ἀληθέστατος· καὶ τῶν ἐν θλίψει παράκλησις, φαινόμενος ἅπασιν ἐν κινδύνοις βοηθός. Ὡς ποιμὴν ἀληθέστατος ἐκμιμούμενος, τοῦ Δεσπότου τὸν οἶκτον οὗ τῆς θείας, βασιλείας ἠξιώθης, μετὰ δικαίων Ἀρσένιε.

Δόξα, ἦχος α'.

Ἐκ μήτρας ἡγιάσθης ὡς Σαμουὴλ ὁ μέγας, καὶ ὁ ἔνθεος Ἱερεμίας, Πατὴρ ἡμῶν Ἀρσένιε. Ἡλικίᾳ τε καὶ σοφίᾳ προκόψας, ἀξίως περιέθου τῆς κατὰ Χριστὸν ἱερωσύνης τὰ σύμβολα. Ὡς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΩΡ. ΑΝΑΣΤ.

μὲν Σαμουὴλ θύων εἰρηνικάς, καὶ ἐν τῷ ἐπικαλεῖσθαι τὸν Κύριον εἰσακουόμενος. Ὡς Ἱερεμίας δὲ πάλιν, θλίψεσιν ἀμέτροις ἐκδιδόμενος, καὶ πηγὴν δακρύων τοῖς ὀφθαλμοῖς ἐπιζητῶν, ὑπὲρ λαοῦ ἐξαμαρτάνοντος. Ὅθεν ἡμεῖς, οἱ πολιοῦχον ἄμαχον, καὶ Ποιμένα σε πλουτοῦντες πανάριστον, αἰτοῦμεν Ἁγιώτατε, μὴ παρασιωπήσῃς ἱλασκόμενος τὸν Κύριον, τῷ πιστοτάτῳ Ποιμνίῳ, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν πάντες εἰς εὔκαιρον βοήθειαν.

Καὶ νῦν, ὁ αὐτός Προεόρτιον.

Ὁ παλαιὸς τῶν ἡμερῶν νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου τῷ ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τὸ ἐπάγγελμα· ὃν Συμεὼν δεξάμενος ἔλεγε· Νῦν ἀπολύεις ἐν εἰρήνῃ, κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου. Εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου Κύριε.

Καὶ τὰ Ἀναγνώσματα· Εἴσοδος. Φῶς ἱλαρόν.

Ἅπερ ζήτει εἰς τὸν Ἑσπερινὸν τοῦ Ἁγίου Σπυρίδωνος.

Εἰς τὴν Λιτήν, ἦχος α΄.

Ἡμέρα σήμερον χαρμονικὴ καὶ ἑόρτιος, ἡμέρα εὐφροσύνης καὶ ἀγαλλιάσεως ἐπεδήμησεν. Αὕτη ἐστὶ τοῦ Ἱεράρχου Κερκύρας Ἀρσενίου τὸ μνημόσυνον. Δεῦτε οὖν οἱ τῶν ἐκείνου λόγων ἐρασταί, καὶ τοῦ βίου ζηλωταί, πρὸς αὐτὸν ἐκβοήσωμεν. Χαῖρε κρατὴρ διδασκαλίας μυστικῆς, ὃν ἡ τοῦ Θεοῦ Σοφία κεκέρακε. Χαῖρε βακτηρία γήρως, ὀρφανίας ἐπίκουρε. Χαῖρε παρήγορε ξένων καὶ ἀδικουμένων ὑπέρμαχε. Χαῖρε τῆς ἀποστολικῆς πολιτείας ἀκραιφνέστατον ἐκτύπωμα. Πέτρου καὶ Παύλου ὑπηρέτα γνησιώτατε. Οἷς καὶ συνευφραινόμενος ἐν τῇ χώρᾳ τῶν ζώντων, μὴ διαλίπῃς δυσωπῶν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα τοῦ Ἁγιωτάτου Μητροπολίτου Κερκύρας

Γεωργίου τοῦ Χωνιάτου, ἦχος ὁ αὐτός.

Τὰ παλαιὰ σιγησάτωσαν οἱ Φαίακες. Ἰδοὺ γὰρ ἀειθαλὴς Παράδεισος ἐν μέσῳ αὐτῶν πεφανέρωται. Ὡραῖοι δὲ καὶ οἱ τούτου καρποί, καὶ εὐωδίαν θυμηδίας εἰσφέρουσι τοῖς πόῤῥω καὶ τοῖς



ἐγγύς. Ἀλλ᾽ ὦ οἰκῆτορ Θεοφυτεύτου Παραδείσου Ἀρσένιε, ἐπακολουθεῖν σοι ἐν αὐτῷ τὸ σὸν δυσώπησον Ποίμνιον, παῤῥησίαν ὡς ἔχων πρὸς Θεόν, καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον, ἦχος β΄.

Ἡ θήκη τῶν λειψάνων σου παμμάκαρ φανεροῖ, ἃς ἐν ἱδρῶτι καὶ ἀγρυπνίᾳ λανθάνων ἐτέλεις ἀρετάς. Ἀλλ᾽ ὢ ξένου τοῦ τεραστίου, τὰ λογικὰ τοῦ ἀψύχου ἐκπλήττονται θαύματα· καὶ πανηγυρίζοντες, τὸν θαυμαστὸν Θεὸν μεγαλύνουσι, τὸν ἀναδείξαντα καὶ ἐν πέτρᾳ τῆς σοροῦ, μέγιστον θαυματουργὸν τὸν θεῖον Ἀρσένιον.

Ἕτερον, ἦχος γ΄.

Ὀρθοδοξίας τὰ δόγματα σαφῶς Πάτερ ἐτράνωσας· Τριάδα σέβειν ἐδίδαξας ἀδιαίρετον· μονάδα δὲ ἀσύγχυτον τὴν θείαν φύσιν καὶ ἄναρχον, αἰωνίαν, ἀΐδιον, ἑνουμένην Θεότητι, διῃρημένην ταῖς ὑποστάσεσιν. Ἀλλὰ ταύτῃ παριστάμενος παμμάκαρ Ἀρσένιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερον, ἦχος δ΄.

Ἀσματικῶς κροτήσωμεν σήμερον ἀδελφοί, τοῦ Ἱεράρχου Κυρίου τελοῦντες τὰ μνημόσυνα μετ᾽ ἐγκωμίων· καὶ τῷ Θεῷ εὐχαριστηρίους μελῳδίας προσάξωμεν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε ᾄδοντες. Φοβερὸν γὰρ ἡμῖν προασπιστήν, καὶ σοφὸν ἐπιστημονάρχην, τὸν θεῖον ἀνέδειξας Ἀρσένιον. Οὗτος γὰρ ἑκοντὶ ἀναχωνεύσας ἑαυτὸν τῷ τοῦ θείου Πνεύματος πυρί, καθαρτικὸν δοχεῖον τῆς θείας γέγονε χάριτος, καὶ ἀκενώτους παρέχει ἡμῖν τὰς δωρεάς. Διὸ καὶ ἡμεῖς ἐπαξίως, κροτήσωμεν τῷ Κυρίῳ αἶνον ἐπινίκιον, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον, ἦχος πλ. α΄.

Δεῦτε φιλεόρτων τὸ σύστημα, τὸν ἀληθῶς Ἱεράρχην ὑμνήσωμεν Ἀρσένιον. Κατὰ τὸν θεῖον γὰρ λόγον τοῦ Θεοῦ, τὸ ἐμπιστευθὲν αὐτῷ τάλαντον καλῶς εἰργάσατο. Ὅθεν μετὰ πότμον, ὡς καὶ ζῶν θαυμάτων αὐτουργὸς πεφανέρωται, δαίμονας φυγαδεύων, καὶ παντοίας νόσους ἰώμενος· ἡμῶν προασπιζόμενος κραταιῶς, καὶ τοὺς καθ᾽ ἡμῶν ἐχθραίνοντας κατὰ κράτος τροπούμενος. Ἀλλ᾽ ὦ Ποιμὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κυρίου, μὴ διαλίπῃς δυσωπῶν τὸν εὐσυμπάθητον Θεόν, ἐκ δεξιῶν παραστῆσαι ἡμᾶς, τῇ φοβερᾷ ἡμέρᾳ τῆς Κρίσεως.

Ἕτερον, τοῦ Βαρδάνη, ἦχος ὁ αὐτός.

Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα, Δαβὶδ μεθ' ἡμῶν ὁ Θεοπάτωρ ἀναβοάτω. Ὄρος τοῦτο ὃ εὐδόκησεν ὁ Θεός, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Εἰς ὃ κατοικεῖν ἡρετίσατο τὸν ἑαυτοῦ μὲν θεράποντα, ἡμῶν δὲ πολιοῦχον Ἀρσένιον. Ἀλλ' ὦ δεῦτε ἡλικία σύμπασα, γένος ἅπαν οἱ ἐνθάδε σήμερον ἀθροιζόμενοι. Δεῦτε καὶ ἅμα προσκυνήσωμεν τῷ κοινῷ Πατρί, καὶ προσπέσωμεν ἐν εὐλαβείᾳ. Τῆς ἱερωτάτης σαρκὸς τὰ ὀστᾶ περιπτυσσώμεθα σὺν φόβῳ, τὰ ὄντως μυρίπνοα. Ὁ γὰρ ἁγιάζων οὗτος, καὶ ἡμεῖς οἱ δι' αὐτοῦ ἁγιαζόμενοι, ἐξ ἑνός ἐσμεν πάντες, τοῦ αὐτὸν ἁγιάσαντος Θεοῦ, καὶ προστάτην ἡμῶν ἐν πειρασμοῖς ὀξύτατον ἀναδείξαντος.

Ἕτερον, τοῦ Χωνιάτου, ἦχος πλ. β'.

Τὸν μέγαν ἐν Ἱεράρχαις, τὴν στάθμην τῶν Ναζωραίων, τὸν πρόμαχον τῆς Κερκύρας, λαοὶ εὐσεβοφρόνως ὑμνήσωμεν, Ἀρσένιον τὸν πανένδοξον. Ὡς γὰρ ἀστεράρχης Ἥλιος φωτοβολῶν ἀκάματα, καὶ τὸ ἀντίθετον ἐκδιώκων, ταῖς χάρισι λαμπρύνει τοὺς εὐφημοῦντας αὐτόν. Μεγίστην γὰρ κέκτηται περὶ Θεὸν παῤῥησίαν, καὶ πρεσβεύων οὐκ ἐκλείπει τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον, τοῦ αὐτοῦ, ἦχος πλ. δ'.

Τὸν Νομοθέτην ζηλώσας τοῖς τρόποις καὶ τοῖς θαύμασι, τὸ σὸν ποίμνιον κεκακωμένον πικρᾶς δουλείας ἐλυτρώσω, τῇ πνευματικῇ σου ῥάβδῳ τὴν πολύφλοισβον πατάξας θάλασσαν. Βοᾷ δὲ καὶ ἡ ἄνικμος πέτρα ὑδροφθόγγους ἤχους ἐκπέμπουσα. Ἀλλ' ἡμεῖς ὡς Θεογράφους πλάκας τὰς διδασκαλίας σου ἀσπαζόμενοι, οὓς καὶ ἐξήγαγες εἰς ἀναψυχήν, ὕμνον σοι προσάγομεν ἑόρτιον. Διὸ καὶ πρέσβευε Θεοῤῥῆμον Ἀρσένιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Τὸ ἐμπιστευθέν σοι τάλαντον, παρὰ Χριστοῦ, καλῶς ἐργασάμενος Ὅσιε Πάτερ, ἀνεδείχθης καὶ μετὰ θάνατον δαιμόνων φυγαδευτής, καὶ ἰατὴρ ποικίλων ἀῤῥωστημάτων. Στῦλος καὶ ἑδραίωμα,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



καὶ ὄρος ἅγιον τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. διό σε ἱκετεύομεν Ἀρσένιε Θαυματουργέ, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, Προεόρτιον, ὁ αὐτός.

Ὁ πρεσβύτης Συμεών, τὸν Νομοδότην καὶ πληρωτὴν τοῦ Νόμου ἀγκάλαις εἰσδέχεται· καὶ τῶν θεσμῶν τὴν ἔκβασιν ἰδὼν τελεσθεῖσαν, μετὰ χαρᾶς ἀνεκραύγαζε· Νῦν ἀπολύεις ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· Εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, Ἅγιε.

Εἰς τὸν στίχ. Προσόμοια, ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε, ἡ χριστώνυμος πληθύς, τὸν Ἀρχιερέα Κυρίου ἀνευφημήσωμεν, τούτου τὴν πανέορτον μνήμην γεραίροντες. Τῆς Κερκύρας γὰρ γέγονε, σεπτὸς Ποιμενάρχης, θεῖόν τε προπύργιον καὶ περιτείχισμα, ἅμα ὀρφανῶν τε καὶ ξένων, καὶ τῶν θλιβομένων ἐδείχθη, μέγα σωτηρίας καταφύγιον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Ὥσπερ τις ἀέναος πηγή, βρύει σου θαυμάτων ἡ θήκη πληθὺν ἑκάστοτε, ἔνδοξε Ἀρσένιε τοῖς προσιοῦσι πιστῶς. Ὅθεν πάντες προστρέχοντες, βοῶμεν ἐν φόβῳ. Δώρησαι τὴν ἴασιν τοῖς εὐφημοῦσί σε, λύων περιστάσεις παντοίας, καὶ τὰς μεθοδείας τοῦ πλάνου, θείαις σου πρεσβείαις πρὸς τὸν Κύριον.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Ποίμνην, ἥνπερ ἴθυνας καλῶς, ζῶν ὡς μετὰ πότμον φυλάττειν μὴ διαλίπῃς ἀεί, ἔνδοξε Ἀρσένιε ἀπὸ παντοίων κακῶν. Τὴν ψυχήν σου γὰρ τέθεικας, ἀντίλυτρον, ταύτης, οἷα συμπαθέστατος καὶ τοῦ Χριστοῦ μιμητής. Ὢ νῦν παρεστὼς παῤῥησίᾳ, πρέσβευε σωθῆναι τοὺς πίστει, σοῦ ἐπιτελοῦντας τὸ μνημόσυνον.

Δόξα, ἦχος πλ. β'.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ περικύκλῳ Πόλεις καὶ Νῆσοι. Ὁ γὰρ Ποιμὴν ὁ θαυμαστός, καὶ Φωστὴρ τῆς Ἐκκλησίας, ὁ μέγιστος Ἀρσένιος, τὴν σήμερον ἡμέραν ἐν τῇ σεπτῇ αὐτοῦ κοιμήσει,

τοὺς παρόντας καταφαιδρύνει ταῖς εὐλογίαις. Ὅθεν συνελθόντες αὐτῷ βοήσωμεν. Πρόστηθι ἡμῶν ταῖς πρὸς Κύριον πρεσβείαις σου, πάνσεπτε Κερκυραίων πρόμαχε.

Καὶ νῦν, Προεόρτιον ὅμοιον.

Ὁ ἐν χερσὶ τοῦ Συμεών, ἀνακλιθῆναι μέλλων Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος πλ. α΄.

Τὸν προστάτην Κερκύρας τὸν ἀπροσμάχητον, τὸν διώκτην πνευμάτων καὶ ἀσθενῶν ἰατρόν. Τῆς μετανοίας ὁδηγὸν τὸν ἀσφαλέστατον, Τὸν ῥυόμενον ἡμᾶς ἀπὸ παντοίων πειρασμῶν, Ἀρσένιε σε τιμῶμεν, περιπτυσσόμενοι πόθῳ, τὰ λείψανά σου τὰ θαυματόβρυτα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, χαῖρε πύλη Κυρίου.

Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ,

Μετὰ τὴν α΄. στιχολογ. κάθ. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Χριστῷ ἀνατεθεὶς ἀπὸ βρέφους Θεόφρων, ἐμάκρυνας σαυτὸν κοσμικῆς προσπαθείας· καὶ μόνῳ τῷ καλοῦντί σε καθαρῶς συγγενόμενος, οἶκος γέγονας τῆς παναγίας Τριάδος, ἣν ἱκέτευε πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς πόθῳ τιμῶντάς σε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Φωνῇ τοῦ Γαβριὴλ ἐν γαστρὶ συλλαβοῦσα, τὸν Λόγον τοῦ Θεοῦ ὑπὲρ λόγον Παρθένε, ἀφράστως τοῦτον ἔτεκες σαρκοφόρον γενόμενον. Ὃν ἱκέτευε ὡς Ποιητὴν καὶ Υἱόν σου, ἀλογίας με τῆς τῶν παθῶν λυτρωθῆναι, πιστῶς ἀνυμνοῦντά σε.

Μετὰ τὴν β΄. στιχολογ. κάθ. ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.



Τὴν πολυτάραχον τοῦ βίου θάλασσαν, δακρύων ῥεύμασι Πάτερ ἐξήρανας· καὶ ἀνεδείχθης ποταμὸς θαυμάτων παμμακάριστε, ὡς κατοικητήριον καθαρὸν θείου Πνεύματος. Ὅθεν δυσωποῦμέν σε Ἱεράρχα Ἀρσένιε, ἱκέτευε ἀδιαλείπτως τὸν Κτίστην, σῶσαι ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

Δόξα, τὸν τάφον σου Σωτήρ.

Κερκύρας ὁ Ποιμὴν καὶ φαιδρὸς ἑωσφόρος· ὁ στῦλος ὁ στεῤῥὸς τῆς Χριστοῦ Ἐκκλησίας· πηγὴ ἡ θαυματόβρυτος, ἀσθενούντων ἐπίσκεψις· ἡ παράκλησις τῶν θλιβομένων ἁπάντων· θείοις ᾄσμασι καὶ ἐγκωμίοις τιμάσθω, ὁ μέγας Ἀρσένιος.

Καὶ νῦν, Θεοτοκίον.

Μητέρα σε Θεοῦ καὶ Παρθένον Ἁγίαν, εἰδότες ἀληθῶς οἱ πιστοὶ Θεοτόκε, δοξάζοντες ὑμνοῦμέν σου τὴν λοχείαν τὴν ἄφραστον. Σὺ γὰρ γέγονας ἁμαρτωλῶν μεσιτεία, καὶ ἀντίληψις καὶ κοσμικὴ σωτηρία, Θεόνυμφε Δέσποινα.

Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Προσβολὰς τῶν δαιμόνων μὴ πτοηθείς, ἐν ἀκμῇ τῶν ἀγώνων ἀλλ' ὡς ἱστόν, ἀράχνης διαλέλυκας τὰς παγίδας καὶ ἔνεδρα, καὶ τὰς μηχανουργίας τῆς ἐκείνων σκαιότητος· τὴν εὐνὴν Ἀνδρονίκου προφθάσας διέσωσας· καὶ ἐν τῇ Τετρανήσῳ, τὸν λαόν σου οἰκτείρων, ζῶν ὕδωρ ἀνέβλυσας, καὶ διψῶντα ἐκόρεσας Θεοφόρε Ἀρσένιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Ὁ Σωτὴρ καὶ Δεσπότης τῶν γηγενῶν, ἐκ γαστρός σου ἀσπόρως σωματωθείς, λιμένα σε εὔδιον τοῖς ἐν ζάλῃ ἀνέδειξε, διὰ τοῦτο πάντες πρὸς σὲ καταφεύγομεν, οἱ ἐν τρικυμίαις παθῶν χειμαζόμενοι, καὶ ταῖς τοῦ δολίου ῥιπιζόμενοι αὔραις, αἰτούμενοι Πάναγνε μετασχεῖν ἀναψύξεως, καὶ εἰρήνης βοῶντές σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ὀρθοδόξως Μητέρα αὐτοῦ σὲ δοξάζουσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἶτα, Ἐκ νεότητός μου πολλά. Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Εὐαγγέλιον, κατὰ Ἰωάννην. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.

Ὁ Ν΄. Δόξα, Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Ἰδιόμελον, ἦχος πλ. β΄. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός.

Ὅσιε τρισμάκαρ Ἁγιώτατε Πάτερ, ὁ Ποιμὴν ὁ καλὸς καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανένδοξε Ἱεράρχα Ἀρσένιε, αἴτησαι πρεσβείαις σου δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ἔπειτα οἱ Κανόνες, πρῶτος τῆς Θεοτόκου, καὶ καθεξῆς οἱ δύο τοῦ Ἁγίου.

Ὁ παρών, τοῦ πανιερωτάτου Μητροπολίτου Κερκύρας, Κυρίου Γεωργίου τοῦ Ἀττικοῦ.

Οὗ ἡ ἀκροστιχίς. Ἀρσένιε σὺ προστάτης εἶ Κερκύρας.

Ὠδὴ α΄. ἦχος δ΄. Τῷ ὁδηγήσαντι πάλαι.

Ἀπὸ καρδίας σοι κράζω, καὶ ἐκ ψυχῆς δέομαι, σοῦ ἐπουράνιε Θεέ, γνώσεων μόνε Κύριε. Τῆς διανοίας φώτισον ὄμματα, καὶ ὑμνῳδίας καθαρᾶς τρίβον μοι γνώρισον.

Ῥαθυμοτόκους φροντίδας, καταλιπὼν σήμερον, τῶν Κερκυραίων ὁ λαός, δεῦτε σπουδαίως δράμωμεν· καὶ τὴν σορὸν κυκλώσωμεν, ἅπαντες τοῦ Ἀρσενίου, ὃς ἡμᾶς θλίψεων ῥύεται.

Στεφανηφόρος χορεύεις, περὶ Θεὸν Ὅσιε· καὶ τὰς τῶν πόνων ἀμοιβάς, ἀντιλαμβάνεις κάλλιστα, καὶ τῶν δακρύων δράγματα χρύσεα ἀντιθερίζεις, ὡς σπορεὺς ἐπιπονώτατος.

Θεοτοκίον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἐπινοιῶν δολοπλόκων, τοῦ πονηροῦ ῥῦου με πανυπεράγαθε Ἁγνή, καὶ σῷ Υἱῷ οἰκείωσον, δι' ἐναρέτων πράξεων, τήρει δὲ ἱερωσύνης μοι, στολὴν ἀεὶ ἀμόλυντον.

Ἕτερος Κανών, Ποίημα ἐλαχίστου Ἰωάννου Ἱερέως τοῦ Θεοφυλάκτου. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς ἀγλαΐαις τοῦ Ἁγίου Πνεύματος καταλαμπόμενος, καὶ Θεῷ τῶν ὅλων, παρεστὼς Ἀρσένιε, τὸν ἱλασμὸν δοθῆναί μοι, τῶν πταισμάτων δυσώπει· ὅπως ἀξίως ὑμνήσω σου, μνήμην τὴν φαιδρὰν παμμακάριστε.

Ὁλολαμπῆ σε ὡς Ἀστέρα ἔχουσα ἡ Κερκυραίων λαμπρῶς, νῦν πανηγυρίζει, ἐτησίως ἄγουσα, τὴν μνήμην σου Ἀρσένιε ὡς σεπτοῦ πολιούχου· καὶ ὡς Ποιμένος ἰθύναντος, ταύτην καὶ ποιμάναντος ἄριστα.

Νέμεις ὡς λύχνος φαεινὸς Ἀρσένιε, τὰς τῶν ἀκτίνων βολάς, καὶ τὴν Οἰκουμένην, καταυγάζεις ἅπασαν, ταῖς τῶν θαυμάτων λάμψεσι· καὶ πρὸς δόξαν ἐγείρεις, τοῦ σὲ δοξάσαντος ἅπαντα, τὰ τῶν φιλεόρτων συστήματα.

Θεοτοκίον.

Ἄνθρακα θεῖον ὡς λαβὶς κατέχουσα τὸν νοητὸν πρὸς Ναόν, φέρουσα ἀπέρχῃ, ὅνπερ λαμπρυνθήσεται, ὁ Συμεὼν δεξάμενος ἐν χερσὶ καὶ τοῦ πάθους, προεκφωνήσει τὰ σύμβολα, πάναγνε Παρθένε σαφέστατα.

Καταβασία, Χέρσον ἀβυσσοτόκον

Ὠδή, γ΄. Ὁ στερεῶν βροτὴν καὶ κτίζων πνεῦμα.

Νέος ἡμῖν Μωσῆς σὺ ἀνεφάνης, εἰς ἀρετῶν ἀκρώρειαν ἀναδραμὼν καὶ ὑπεισελθών, θεωρίας θείας γνόφον· ὡς πλάκας δὲ κατήγαγες, λαῷ σῷ διδάγματα.

Ἰσοκλεὴς τῷ Ἰωσὴφ ἐγένου, φυγὼν αἰγυπτιάζοντι, κακίαν πᾶσαν καὶ γυμνωθείς, ῥυπαρῶν σαρκὸς χιτώνων, οὐ γὰρ ἠνέσχου φθείρεσθαι, τὸν Ναὸν τὸν πανάγιον.

Θεοτοκίον.

Ἐν ὑψηλῇ τῇ γνώμῃ καὶ τῇ γλώττῃ, τὸ σὸν ἐτράνου ὄνομα, ὁ Ἱεράρχης καὶ τὴν ὀφρύν, τῶν βλασφήμων εἰς γῆν ἔσπα, Θεοκυῆτορ πάναγνε, ἀνθρώπων ἡ βοήθεια.

Ἄλλος. Ὁ Στερεώσας κατ' ἀρχάς.

Ῥάδαμνος ἔφυς εὐκλεής, γονέων εὐσεβεστάτων· ὧν θανόντων μετανάστης ἐγένου, εἰς Βυζάντιον κἀκεῖ, τὸ τῆς ψυχῆς ἰδόντες σου, κάλλος σε τῆς Κερκύρας, προεβιβάσαντο πρόεδρον.

Σοῦ δὲ ψυχῆς τὸ εὐγενές, θαυμάσας καὶ τῆς Κερκύρας, χαρᾶς πλείστης ὁ λαὸς ἐπληροῦτο· καὶ τὴν δόξαν τῷ Θεῷ μεγαλοφώνως ἔπεμπον, τῷ σὲ προστάτην τούτων, Ἀρσένιε ἀναδείξαντι.

Ἐν τῷ πανσέπτῳ δὲ τὰ νῦν, συναθροισθείς σου τεμένει, καὶ τῶν θείων σου λειψάνων τὴν θήκην, ἀσπαζόμενος βοᾷ λιταῖς πρὸς τὸν Κύριον. Πάσης ἡμᾶς ἀνάγκης, καὶ περιστάσεως λύτρωσαι.

Θεοτοκίον.

Νεφέλη κούφη ἀψευδῶς, Παρθενομῆτορ ἐφάνης, καὶ λαβὶς ἀνθρακοφόρος κρατοῦσα, ὥσπερ βρέφος τὸν Χριστόν· ὃν Συμεὼν δεξάμενος, ἐν ταῖς ἀγκάλαις χαίρων, ἐβόα νῦν ἀπολύεις με.

Καταβασία. Τὸ στερέωμα.

Κάθ. ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τὴν σοφίαν τοῦ Πνεύματος μυηθείς, ἐξελέξω δογμάτων τὸ εὐσεβές, πᾶσαν ἀπωσάμενος τῶν ματαίων τὴν σύγχυσιν. Τὴν τῆς Ὀρθοδοξίας διδάσκεις ἀκρίβειαν, τὰς αἱρέσεις διώκων δυνάμει τῶν λόγων σου. Ὅθεν ὁ Δεσπότης, Οὐρανῶν Βασιλείας τὰ γέρα παρέχει σοι, δεῦρο δοῦλέ μου λέγων σοι. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, πρεσβεύων ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων τὴν κοίμησιν.

Δόξα, Ζήτει τὸ κάθ. τῆς β'. στιχολ.

Κερκύρας ὁ Ποιμὴν καὶ φαιδρὸς ἑωσφόρος. Καὶ νῦν, Θεοτοκίον.

Ὠδή, δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Σοῦ τὸ ὄνομα καὶ μόνον, εὐσεβῶς προσκαλούμενον, δαίμονας μαστίζει, ζάλης ἐκλυτροῦται τοὺς πλέοντας, τοὺς ἐν ὁδοῖς πλανωμένους αἰχμαλώτους τε, ἐπανάγει καὶ συμφορὰς ἀποκρούεται.



Ὑπερέβης τὰς αἰσθήσεις, ἐν ᾧ ἔζης μακάριε, ἔξω Κόσμου μένων, κἂν ὁ Κόσμος εἶχέ σε σώματι. Ἀλλὰ θανὼν παρεγένου πρὸς ὃν ἔσπευδες, ὑπερούσιον καὶ Ποιητὴν προαιώνιον.

Θεοτοκίον.

Πλουτισθεῖσα τῶν ἀνθρώπων, ἡ πτωχεία Θεότητι, διὰ σοῦ Παρθένε, πᾶσαν ἀποδύεται νέκρωσιν· καὶ δερματίνους χιτῶνας ἀποτίθεται, καὶ ἐνδύεται τοῦ σωτηρίου ἱμάτιον.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Μοναστῶν ἀκριβέστατος, ὅρος καὶ κανὼν ἐδείχθης Ἀρσένιε, ἀρεταῖς ἐμπρέπων Ὅσιε, καὶ ταῖς θεωρίαις καὶ ταῖς πράξεσιν.

Ἠρθης ὕψος πρὸς μέγιστον, τῆς ἱερωσύνης καὶ Ποιμὴν ἄριστος, Κερκυραίων προκεχείρισαι, ἐμβιβάζων τούτους πρὸς Παράδεισον.

Λύχνος οἷα προβέβλησαι ἐπὶ τὴν λυχνίαν καὶ κατελάμπρυνας, σοῦ τοῖς λόγοις καὶ τοῖς θαύμασιν, Οἰκουμένης μάκαρ τὰ πληρώματα.

Θεοτοκίον.

Δυναμοῦσά με φάνηθι, ἐν τῇ τοῦ θανάτου ὥρᾳ Θεόνυμφε, παροδεῦσαι τοὺς ἀλάστορας, τοὺς ἐν τῷ ἀέρι ἐπιπλήσσοντας.

Καταβασία. Ἐκάλυψεν Οὐρανούς.

Ὠδή, ε'. Ἀνάτειλόν μοι Κύριε.

Ῥυφθῶμεν φρένας ἅπαντες, τὰς χεῖρας ἐφαγνίσωμεν, τὰ αἰσθητήρια καθάρωμεν, καὶ ἐποφθῶμεν ὡς ἀρέσκει, τῷ θείῳ θεράποντι· ἡμῶν πολιούχῳ δὲ Ἀρσενίῳ τῷ σοφῷ.

Ὀρθρίζων ὁ θεσπέσιος, Ποιμὴν πάλαι ἱκέτευε, τὸν εὐδιάλλακτον Θεόν, ὑπὲρ λαοῦ κεκακωμένου· καὶ θανὼν δὲ μάλιστα, ἐξαιτεῖται ἄνεσιν τῷ ποιμνίῳ ἑαυτοῦ.

Θεοτοκίον.

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ

Στύλος πυρὸς πανάμωμε, λυχνία σὺ ἑπτάφωτος, κλίμαξ γέφυρα καὶ τράπεζα, πόκος δρόσος καὶ βάτος. Τὰ γὰρ πρὶν αἰνίγματα, καὶ οἱ τύποι ἔλαβον διὰ σοῦ τὸ ἀληθές.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Προσβολὰς τῶν δαιμόνων, σὺ οὐκ ἐκπτοήθης, ἀλλ' ἄτρεπτος ἔμεινας, καὶ ἐστηριγμένος, ἐπὶ πέτραν τῆς πίστεως Ὅσιε· καὶ τὰς ἑλεπόλεις, τούτων ἱστὸν οἷα ἀράχνης, διαλέλυκας μάκαρ Ἀρσένιε.

Ἡττηθεὶς ἀπεκρούσθη, ἐν ἀκμῇ τῶν σῶν πόνων ὁ πολυμήχανος· τόλμῃ προσελθὼν ἀλλ' ἠλέγχθη ὁ δείλαιος· τὸ τοῦ λόγου μάτην, λύκος χανὼν καὶ κατεβλήθη, τοῖς ὡραίοις ποσί σου Ἀρσένιε.

Προσευχῇ σου προφθάσας, τὴν εὐνὴν Ἀνδρονίκου σὺ ἠλευθέρωσας δυστοκοῦσαν μάκαρ· καὶ ζῶν ὕδωρ ἀνέβλυσας Ὅσιε, ἐν τῇ Τετρανήσῳ. Ὅπερ τὴν σὴν ἐπωνυμίαν, μέχρι δεῦρο φυλάττει Ἀρσένιε.

Θεοτοκίον.

Τρέμω ἔφη ὁ πρέσβυς, τὸν προσβλέψει πάλαι τὴν γῆν σαλεύοντα· ὃν ἐκόμισάς μοι, καὶ κατέχων Παρθένε, ῥωννύομαι. Ἀποβάντων δέ μοι, χρησμῶν τῶν θείων τοῖς ἐν Ἅδῃ, Εὐαγγέλια φέρων κατέρχομαι.

Καταβασία. Ὡς εἶδεν Ἡσαΐας.

Ὠδή, ς'. Ζάλη με λογισμῶν.

Τίς οὗτος ὁ ἑστὼς ἡμῶν ἐν μέσῳ, ἀοράτοις στάσεσι καὶ πᾶσι, τὴν εὐλογίαν διανέμων, καὶ χάριν δαψιλῆ. Ἀρσένιος ὁ μέγας. Δεῦτε τούτῳ προσπέσωμεν.

Ἄσατε τῷ Θεῷ ᾄσατε τέκνα, καὶ εὐχὰς ἀπόδοτε μετὰ ζεούσης καρδίας, ὅπως ἵλεως γένηται ὑμῖν. Εἰς τοῦτο γὰρ πρεσβεύω, κἀγὼ Πατὴρ ὡς φιλόστοργος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Τάλανες ἐκ τῶν ἔργων ἡμεῖς Πάτερ, καταδίκης ἄξιοι, ἀλλὰ σὲ μόνον πλουτοῦμεν, ἀμετάθετον πρέσβυν πρὸς Θεόν. Μὴ οὖν ἐλλίπῃς ἕλκων ἡμῖν, τὸ ἔλεος ἄνωθεν.

Θεοτοκίον.

Ἥλιον τέτοκας δικαιοσύνης, καὶ τὸ σκότος ἔλυσας τῆς παραβάσεως Κόρη· διὸ λάμψον κἀμοί, τὴν φεραυγῆ ἀκτῖνα τῆς μετανοίας. Σὸς γὰρ ἐγὼ δοῦλος ἄχραντε.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ἡ Κερκυραίων λαμπρά, Μητρόπολις ἀγλαΐζεται, πλουτοῦσά σε θησαυρόν, τεράτων ἀέναον· καὶ χαίρουσα γάννυται, σοῦ τῇ πανηγύρει, παμμακάριστε Ἀρσένιε.

Ὁ τῶν Ἀγγέλων χορός, Ἱεραρχῶν τε ὁ σύλλογος, σοὶ ὑπαντῶντες λαμπρῶς, καὶ πνεῦμα δεχόμενοι, τὸ σὸν ὦ Ἀρσένιε· χαίροις ἐκβοῶσι, τῆς Κερκύρας ὁ ὑπέρμαχος.

Γυνὴ προσῆλθε ποτέ, δαιμονιώδης αἰτοῦσά σου, ὕδωρ ἀτάκτῳ φωνῇ· καὶ τούτου μεθέξασα, ἐκ χειρὸς ἁγίας σου, παραχρῆμα Πάτερ, ἠξιώθη τῆς ἰάσεως.

Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεοῦ, τοῦ ἀχωρήτου πανάμωμε, ὃν ἐν χερσὶ τῷ Ναῷ, κρατοῦσα προσήγαγες. Καὶ τοῦτον δεξάμενος, Συμεὼν ἐβόα. Νῦν ἀπόλυσον τὸν δοῦλόν σου.

Καταβασία. Ἐβόησέ σοι.

Κοντάκιον, ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὁ Κερκύρας πρόμαχος τὰ ἐπὶ γῆς καταλείψας, στεφηφόρος ἄνεισι πρὸς τὴν οὐράνιον δόξαν. Ἄγγελοι μετ' εὐφροσύνης προσυπαντῶσιν. Ἄνθρωποι λαμπαδηφόροι δοξολογοῦσιν. Ἐκβοῶντες χαίροις Πάτερ, Κερκύρας κλέος, ὁμοῦ καὶ καύχημα.

Ὁ Οἶκος.

Ἡ ψυχή μου παμβέβηλος πέφυκε, καὶ μεστὴ ῥυπαρᾶς πάσης πράξεως. Ὅθεν ἀπορῶν δειλιῶ τε καὶ δέδοικα τῇ ᾠδῇ ἐγχειρῆσαι τὸ σύνολον. Τίς γὰρ εἰμὶ ἐγὼ ὁ σκώληξ καὶ ἄμουσος;

ἢ πῶς τολμήσω παντελῶς σοῦ τῶν ὕμνων καθάψασθαι; ἀλλὰ ταῖς σαῖς εὐπροσδέκτοις θαῤῥήσας δεήσεσιν, Ἱεράρχα Ἀρσένιε, μετὰ πόθου κραυγάζω καὶ πίστεως. Χαίροις Πάτερ, Κερκύρας κλέος, ὁμοῦ καὶ καύχημα.

## Τῷ αὐτῷ μηνί, ιθ΄.

## Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

# ΑΡΣΕΝΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΕΡΚΥΡΑΣ

Κοσμήσας Ἀρσένιος ἡμῶν τὸν θρόνον,
Νῦν πρὸς τὸν αἰθέριον ἀπέβη πόλον.
Ἐννέα καὶ δεκάτῃ κῦρ Ἀρσένιον Νόες ἦραν.

Ὁ ἀοίδιμος οὗτος καὶ μέγας Πατὴρ ἡμῶν Ἀρσένιος ἐν τοῖς χρόνοις ἦν Βασιλείου τοῦ εὐσεβοῦς βασιλέως τοῦ ἐκ Μακεδονίας, γεννηθεὶς ἐκ γονέων εὐσεβῶν καὶ Θεοφιλῶν· τοῦ μὲν πατρὸς αὐτοῦ ἐκ τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ ὁρμωμένου, τῆς δὲ μητρὸς ἐκ Βηθανίας· οἵτινες νομίμως συναφθέντες, ἐν ἀπαιδίᾳ τὸν βίον διήνυον· πάσῃ δὲ ἀρετῇ καὶ ἀγαθοεργίᾳ τὸν Θεὸν θεραπεύοντες, καρπὸν ηὔχοντο δοθῆναι αὐτοῖς. Καὶ δὴ τῆς εὐχῆς αὐτῶν ἐπακούσας ὁ Θεός, ἄξιον ὄντως τῆς αἰτήσεως τὸν καρπὸν αὐτοῖς ἐδωρήσατο. Τὸν καλὸν οὖν τοῦτον Ἀρσένιον, ἐν Βηθανίᾳ γεννήσαντες, τῷ Θεῷ ἐκ σπαργάνων ἔγνωσαν ἀναθῆναι. Ὅθεν καὶ τριετῆ γενόμενον, αἴρουσι μεθ᾽ ἑαυτῶν· καὶ πρὸς ἓν τῶν ἐκεῖσε Μοναστηρίων γενόμενοι τῷ Θεῷ καὶ τῷ τῆς Μονῆς προεστῶσι ἀνέθεντο, εἰς δωδεκαετίαν αὐτῷ τὰ τῆς μοναδικῆς πολιτείας ταμιευσάμενοι. Καὶ αὐτοὶ μὲν τὸ μοναδικὸν ἀμφιεσάμενοι σχῆμα, καὶ κατὰ Θεὸν ἐκεῖσε πολιτευσάμενοι τὸν βίον ἀπέλιπον. Ὁ δέ γε τίμιος παῖς Ἀρσένιος, γράμμασι παιδευόμενος, καὶ καλῶς ἀνατρεφόμενος πάσῃ προέκοπτεν ἐναρέτῳ πολιτείᾳ. Τὸν δωδέκατον δὲ πεφθακὼς χρόνον, καὶ αὐτὸς ἤδη τὸν μονότροπον ὑπέδυ βίον. Ἀλλὰ πλείονος ἐφιέμενος τῆς ἐκ τῶν μαθημάτων παιδεύσεως, τὴν Σελεύκειαν κατέλαβεν· ἔνθα τὸ τῆς Ἱερωσύνης ἀξίωμα ἐδέξατο, βιασαμένου αὐτὸν τοῦ ἐκεῖσε Ἀρχιερέως, διὰ τὴν ἀρετὴν τὴν αὐτῷ ἐπιλάμπουσαν. Θελήσαντος δὲ αὐτοῦ τὴν Ἱερουσαλὴμ αὖθις θεάσασθαι, πλοίῳ ἐντυγχάνει πειρατικῷ, καὶ χερσὶν Ἀγαρηνῶν περιπεσών, χάριτι Θεοῦ



λυτροῦται τῆς αἰχμαλωσίας, λόγοις προσηνέσι τε καὶ εὐσεβέσι τοὺς ἀθέους ἐκμειλιξάμενος. Ἀπολυθεὶς δέ, καὶ τοὺς ἁγίους καταλαβὼν καὶ προσκυνήσας τόπους, καὶ τὸν πόθον ἀφοσιωσάμενος, τὴν Κωνσταντινούπολιν καταλαμβάνει, καὶ παρὰ τοῦ ὁσιωτάτου Τρύφωνος δεξιοῦται. Ἐκείνου δὲ πρὸς τὸν Πατριαρχικὸν ἀναβάντος θρόνον, τῶν Ἐκκλησιῶν οὗτος τὴν φροντίδα πιστεύεται· καὶ μετὰ μικρὸν Τρύφωνος τὸν βίον ἀπολιπόντος, Θεοφύλακτος ἐπὶ τὸν θρόνον ἀνάγεται. Ὃς δὴ τὸν μακάριον εὑρὼν Ἀρσένιον ἀρετῆς ὕψει μαρτυρούμενον, ψήφῳ Θεοῦ κινηθεὶς τῆς μεγάλης Κερκυραίων Ἐκκλησίας Ἀρχιερέα χειροτονεῖ, καὶ τὸν τοῦ φωτὸς ἄξιον ἐπὶ τὴν λυχνίαν τίθησιν. Ἐντεῦθεν Ἀρσένιος ἐπὶ τὸν θρόνον ἀναβάς, τὰ τοῦ βήματος πρῶτον κατακοσμεῖ, καὶ τὴν χειροτονίαν καθαρὰν καὶ ἀνεπίληπτον ἐπισπεύδει ποιεῖσθαι· εἶτα καὶ τὰ κοινὰ πατρικῶς προμηθούμενος, ὀρφανῶν γίνεται Πατήρ, χηρῶν ὑπερασπιστής, ἀδικουμένων προστάτης, πεινόντων τροφεύς, πενήτων χορηγός, καταπονουμένων βοηθός, λυπουμένων παράκλησις, ἀσθενούντων ἰατρός, καὶ ἁπλῶς τοῖς πᾶσι γέγονε τὰ πάντα κατὰ τὸν θεῖον Ἀπόστολον· διὸ καὶ ὁ Θεὸς χάρισι θαυμάτων αὐτὸν ἀντημείψατο. Σκυθῶν γάρ ποτε τῇ πέραν καταδραμόντων γῇ, καὶ πρὸς τὴν Νῆσον διαπερασάντων, ὁ μακάριος μηδὲν μελλήσας, πρὸς αὐτοὺς παραγίνεται, τὴν ἐκείνων ὁρμὴν εἰρηνικῶς παρεμποδίσαι πραγματευόμενος. Ἀλλ᾽ οἱ Σκύθαι λῃστρικῶς τοῦτον κρατήσαντες, διὰ μονοξύλων τῇ θαλάσσῃ ἐπέβησαν. Ὅπερ γνόντες οἱ Κερκυραῖοι, καὶ αὐτοὶ διαπλευσάμενοι, κατὰ πρόσωπον αὐτοῖς συνήντησαν· καὶ ταῖς τοῦ Ποιμένος εὐχαῖς θαῤῥήσαντες, θαρσαλέως κατ᾽ αὐτῶν ὥρμησαν, καὶ σὺν Θεῷ τούτους τροπωσάμενοι, οὓς μὲν μαχαίρας ἔργον ἀπέδειξαν, οὓς δὲ τῇ θαλάσσῃ ἐβύθισαν, τοὺς δὲ λοιποὺς καταδιώξαντες ἐν τῇ λεγομένῃ Τετρανήσῳ πάντας ἀπώλεσαν· ἔνθα δὴ καὶ διὰ προσευχῆς ὁ Ἅγιος ὕδωρ ἐξαγαγὼν ἐκ πέτρας, ὅπερ καὶ νῦν ἐστὶ βρύζον, τὸν ἑαυτοῦ διψῶντα λαὸν ἐκόρεσεν. Λαμπρῶς οὖν πρὸς τὸν ἴδιον ἐπιστρέψας θρόνον, πολλῶν καὶ ἑτέρων θαυμάτων αὐτουργὸς ἐγένετο. Αὐχμὸν γὰρ ἰσχυρότατον, τοὺς κατὰ πᾶσαν Νῆσον καρποὺς κατ᾽ ὀλίγον διαφθείροντα, δι᾽ ἐντεύξεως ἔλυσε, καὶ ὑετὸν εὐχῇ κατήγαγεν. Παιδίσκην δέ τινος τῶν κατὰ τὴν Νῆσον περιφανῶν, ὑπὸ δαίμονος δεινῶς ὀχλουμένην, εὐχῇ μόνῃ καὶ ἀπὸ νάματος τοῦ συνήθους ῥαντισμῷ τοῦ δαίμονος, ἠλευθέρωσεν. Ἑτέρᾳ δὲ γυναικὶ Ἀνδρονίκου τινὸς κληρικοῦ δυστοκούσῃ,

καὶ πρὸς τὸ θανεῖν ἤδη προσεγγιζούσῃ, δι' εὐχῆς τὸ ζῆν ἐχαρίσατο, καὶ τὸ βρέφος ἀποτεκεῖν ἐποίησεν. Γυναῖκα δὲ ἄλλην ἡμίξηρον οὖσαν, ἐλαίου χρίσματι ἁγίου, ὑγιᾶ καὶ ἄρτιον ἀποκατέστησεν. Καὶ ὀργὴν κατὰ τῶν λογάδων Κερκύρας, παρὰ τοῦ Βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, Υἱοῦ Λέοντος τοῦ Σοφωτάτου κηρυχθεῖσαν, πάντας κελεύουσαν ἀχθῆναι εἰς τὴν Κωνσταντινούπολιν, αὐτὸς ἐντέχνως ταύτην διέλυσεν· ὁ γὰρ τὴν ἀρχὴν Κερκύρας παρὰ Βασιλέως δεξάμενος, φιλοχρήματος ὤν, κατ' αὐτῶν ἀδίκως ἐψεύσατο. Ὁ δέ γε θεῖος Πατήρ, ὑπὲρ αὐτῶν τὴν ἑαυτοῦ ψυχὴν θέμενος, καὶ γήρως καὶ θαλάσσης καὶ χειμῶνος ἐπιλαθόμενος, πρὸς τὸν Βασιλέα παρεγένετο· καὶ τὸν ἐκείνου καταπραΰνας θυμόν, συμπαθείας γραμμάτιον ἐδέξατο. Κἀκεῖθεν φιλοφρόνως ἐξελθών, πρὸς τὴν ἰδίαν Ποίμνην ἐρχόμενος, καὶ κατὰ τὴν λεγομένην Σκύρον φθάσας Νῆσον, νόσῳ περιπίπτει· πλησίον δὲ Κορίνθου γενόμενος, τῷ Θεῷ τὴν μακαρίαν ψυχὴν παρέθετο. Ἐντίμως οὖν ἐκεῖσε παρά τε τῶν ἰδίων καὶ τῶν συνελθόντων κηδεύεται· ὕστερον δὲ οἱ τῆς Πόλεως Κερκύρας παραγενόμενοι, μετὰ τοῦ Ἱεροῦ Λειψάνου πρὸς τὴν ἰδίαν ἐπανιέναι Πόλιν ἐφώρμουν· ἔνθα δὴ καί τι θαύματος ἄξιον συνέβη γενέσθαι, τοῦ Θεοῦ τὸν οἰκεῖον δοξάζοντος θεράποντα. Τὴν ἀρετὴν γὰρ τοῦ Ἀνδρὸς οἱ τῆς ἐπαρχίας ἐκείνης ἀκούοντες, καὶ τοῦτον διὰ θαύματος ἔχοντες, ἐτόλμησαν, ἁγιασμοῦ χάριν, τῆς ἱερᾶς αὐτοῦ γενειάδος λάθρα μέρος λαβεῖν· ὃ καὶ ποιήσαντες ἐγνώσθησαν. Ὅμως τὸ τίμιον αὐτοῦ σῶμα ἀνακομισθέν, εὑρέθη πάλιν σῶον τῇ τοῦ Θεοῦ χάριτι, τὴν γενειάδα ἔχον ὁλόκληρον ὃ καὶ κατετέθη εὐλαβῶς ἐν τῇ Κερκυραίων ἁγιωτάτῃ Μητροπόλει, θαύματα καὶ ἰάσεις βρύον ἑκάστοτε εἰς αἶνον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου καὶ τῶν λοιπῶν, οὓς ὅρα εἰς τὸ Μηναῖον.

Τῇ αὐτῇ ἡμέρᾳ, τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μάρκου Μητροπολίτου Ἐφέσου τοῦ Εὐγενικοῦ, τοῦ μὴ ὑπογράψαντος τὸν βλάσφημον ὅρον τῆς ἐν τῇ Φλωρεντίᾳ Συνόδου.(1)

(1) Ταῦτα προσέθεμεν ἡμεῖς, ἅτινα οὐχ ηὑρίσκοντο ἐν τῇ Ἀκολουθίᾳ ταύτῃ. (Σημ. Ἐκδ.)



Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὠδὴ Ζ'. Τῇ εἰκόνι τῇ χρυσῇ.

Σύννουν φρόνημα δεικνύς, καὶ ἀκατάπληκτον ἦθος Ἠλίας ἄλλος, καθαρῶς ἔλεγες, τῶν Βασιλέων κατεναντίον. Οὐκ ᾐσχύνου δὲ καὶ γάρ, ἀληθείας τοὺς λαμπροὺς ἄνθρακας ἐψωμίσθης, καὶ ἐπευλόγεις Θεὸν τὸν τῶν Πατέρων ἡμῶν.

Ἔθετό σε Χριστὸς τῇ Ἐκκλησίᾳ ὡς λύχνον, καὶ ὡς ἀστέρα ἔπηξε μέγιστον, ὅθεν ἑσπέρα φωταγωγεῖται, ἐξαιρέτως δὲ ἡ σὴ Νῆσος αὕτη ἡ μικρά, καὶ καυχωμένη ψάλλει. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἰσχυράν σε βοηθόν, καὶ ἀκαθαίρετον τεῖχος, καὶ πύργον ἔχων ἐν περιστάσεσι, Θεογεννῆτορ, καὶ τὴν ὁμίχλην, ποίμνης ταύτης τὴν πολλήν, σοῖς προσάγω οἰκτιρμοῖς, βοῶν μετὰ δακρύων. Ῥύου ἡμᾶς πειρασμῶν ταῖς Ἀρσενίου εὐχαῖς.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς προστάτην Κερκύρας, καὶ διώκτην πνευμάτων ἀνευφημοῦμέν σε, Ἀρσένιε τρισμάκαρ, βοῶντες τῷ Σωτῆρι εὐχαρίστως καὶ ψάλλοντες, Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Πολιοῦχον παμμάκαρ, καὶ ὑπέρμαχον θεῖον καὶ μέγαν οἴακα, ἰθύναντα πρὸς τρίβους, ἡμᾶς τῆς σωτηρίας, ζῶντά σε ἐπλουτίσαμεν, διὸ καὶ νῦν δυσωπεῖν ὑπὲρ ἡμῶν μὴ παύσῃ.

Μυστιπόλος ὡς θεῖος, καλυπτόμενος ἔνδον τοῦ θείου γνόφου σοφέ, πυρὶ τῷ ὑπερτάτῳ, Τριάδος τῆς Ἁγίας, καὶ λαμπρῶς φωτιζόμενος. Ὁ τῶν Πατέρων βοᾷς Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, σὲ κηρύττομεν πάντες Θεογεννήτρια, οἱ πόθῳ προσιόντες πρὸς τὴν ἀντίληψίν σου, καὶ βοῶντές σοι πάναγνε. Μὴ διαλίπῃς ἀεὶ ἡμᾶς διαφυλάττειν.

Καταβασία.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

'Ωδή, η'.

Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ.

Κρότος ὧδε ποδῶν πολὺς ἤκουσται, νοσοῦσι καὶ σκιά, τοῦ ἱεράρχου καὶ πατρός, ἐπεφάνη κακουχουμένοις· ὑγιείας δ' ἄφνω ὡς μετέχοντες ἔκραζον. Δόξα σοι τῷ θαυματουργοῦντι Ἀρσένιε τρισμάκαρ.

Εὗρεν ἄλλην ὡς κιβωτόν, λάρνακα Θεόπνευστε τὴν σήν, τῶν Κερκυραίων ὁ λαός· καὶ ὡς ἄρτος Ἀγγέλων πάλαι βροχή, τῶν θαυμάτων ὑετίζουσα, τούτοις ἑκάστοτε· καὶ χαριτοδότης ἐν σοὶ Χριστὸς ὑμνεῖται.

Ρόδον ὥσπερ θυμοτερπές, ἄμπελον κυπρίζουσαν τὴν γῆν, διειδεστάτην εὐθαλὲς δένδρον, ὄντως νομίζομέν σου τὴν πάνσοφον βίβλον, εὐωδίας ἀῤῥήτου πληρούμενοι, καὶ τρυγῶντες γλεῦκος τῶν θείων διδαγμάτων.

Θεοτοκίον.

Λάμπει τῷ σῷ Υἱῷ, σύμπασα φύσις ἡ λογική, ἐπουρανίων στρατιῶν, ἐνύλων καὶ ἐπιγείων, ἀπείρανδρε Μήτηρ· τὸν γὰρ Κτίστην τὰ κτίσματα τρέμουσι, σὲ δ' ὡς Βασιλίδα γεραίρουσιν ἀξίως.

Ἄλλος.

Ἑπταπλασίως Κάμινον.

Κόσμῳ σε συμπαθέστατον, ἀσθενούντων ἀκέστορα, πάτερ καὶ πεινώντων τροφοδότην ἔνθεον, χηρῶν ἀντιλήπτορα, καὶ ὀρφανῶν ἀνέδειξε, μέγαν προμηθέα, ὁ Χριστὸς ᾧ βοῶμεν. Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅτε ὡς θῆρες ἄγριοι, καὶ ὡς λύκοι ἁρπάκτορες, οἱ σκυθογενεῖς κατὰ τῆς Ποίμνης ὥρμησαν, τῆς σῆς ὦ Ἀρσένιε, σοῦ ταῖς εὐχαῖς θαῤῥήσαντες, οἱ Κερκύρας παῖδες ἐτροπώσαντο τούτους, ἐν γῇ τε καὶ θαλάσσῃ μελῳδοῦντες τῷ κτίστῃ, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.



Οὓς διψῶντας ᾤκτειρας, καὶ ζῶν ὕδωρ ἀνέβλυσας, ἐν τῇ Τετρανήσῳ, ὡς Μωσῆς τὸ πρότερον, Ἀρσένιε μέγιστε, τῇ πρὸς τὸν Θεὸν ἐντεύξει σου· οὗ καὶ κορεσθέντες ἐμελῴδουν συμφώνως. Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Θεοτοκίον.

Οὐκ ἀποστὰς τῆς φύσεως, τοῦ Πατρὸς ὁ ὑπέρθεος, Λόγος καὶ σοφία ἐξ ἁγνῶν αἱμάτων σου, Παρθένε σεσάρκωται, τηρήσας σε ἀλώβητον, ὡς καὶ πρὸ τοῦ τόκου, ὀρθὰ διὸ φρονοῦντες, οἱ πάντες Θεοτόκον, ἀληθῶς καὶ κυρίως, σὲ ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες.

'Ωδή, θ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν.

Ὑψώσωμεν δεῦτε τὴν φωνήν, χεῖρας κροτήσωμεν, χοροὺς στησώμεθα νῦν, καὶ ἀλαλάξωμεν μέλος ἐπινίκιον Θεῷ, τῷ στεφανώσαντι στέφει τῆς εὐπρεπείας αὐτοῦ, τὸν θαυματουργὸν σοφὸν Ἀρσένιον, Ἀποστόλων τὸν ὁμότροπον καὶ κλέος ἡμῶν.

Ῥεόντων μὲν τὸ ἄστατον κατιδών, κατανοήσας τε τὸ τῆς σαρκὸς εὐτελές, μόνον ἠγάπησας κάλλος τὸ ἀμήχανον Θεοῦ, καὶ πρὸς αὐτὸν τὰς αἰσθήσεις ὅλας ἀνέτεινας. Οὐκοῦν τὴν ἔφεσιν ἀνέπαυσας, ἐκ προσκαίρων μεταβὰς πρὸς τὰ αἰώνια.

Ἀρκεῖ σοι ἡ χάρις Θεοῦ ὡς καὶ Παύλῳ ποτέ, ἐν ἀσθενείᾳ καὶ γάρ σοι τετελείωται, δύναμις θαυμάτων δαψιλής· ἀλλὰ τὴν Ποίμνην σου ταύτην διαφυλάττοις ἀεί, ἐξ ἐπηρείας πολεμίων τε, καὶ κακώσεων δεινῶν συμπαθέστατε.

Θεοτοκίον.

Σωτήριος θύρα σὺ Παρθένε πιστῶν, Παράδεισός τε τρυφῆς, νεφέλη τόμος καινός, ἄσπιλε Δέσποινα. Ὅθεν ἐξαιτοῦμαί σε κἀμοί, τῆς μετανοίας πύλας ἀναπέτασον, καὶ ξύλου ζωῆς τρυφὰν εὐδόκησον, Σκέπε, βίβλῳ σωζωμένων με κατάγραφε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἄλλος.

Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Μετέστης ἐκ θανάτου πρὸς τὴν ζωήν, οἷα φθάσας σοφὲ τὸ ἀκρότατον, τῶν ὀρεκτῶν, ἔνθα αἱ χορεῖαι τῶν Προφητῶν, Πατριαρχῶν ὁ σύλλογος, ὅπου συναυλία Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων καὶ πάντων τῶν Ἁγίων, ὧν ἐμιμήσω τὸ πολίτευμα.

Ὡς πάλαι τῶν ὀστέων τοῦ Ἰωσήφ, οἱ υἱοὶ Ἰσραὴλ ἐποιήσαντο, συγκομιδήν· οὕτως οἱ Κερκύρας παῖδες τὰ νῦν, τοῦ σοῦ λειψάνου πάνσοφε, χαίροντες ἐτέλεσαν τοῦ σεπτοῦ· καὶ γὰρ στερεῖσθαι τούτου, σοῦ καὶ καταπολαύειν, τοὺς Κορινθίους οὐκ ἠνέσχοντο.

Δεξάμενος Ἀρσένιε τὸ παρόν, τῆς βεβήλου ψυχῆς μου ἐφύμνιον, ἀντιβολῶ. Λῦσίν μου παράσχου ἁμαρτιῶν, πρεσβείαις εὐπροσδέκτοις σου· καὶ τὴν Πόλιν ταύτην καὶ τὸν λαόν, παντὸς κινδύνου ῥῦσαι, καὶ βλάβης ἐναντίων· σὲ γὰρ πλουτοῦμεν ἀντιλήπτορα.

Θεοτοκίον.

Ὡ Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, τὴν ἡμῶν δεχομένη παράκλησιν, ὡς ἀγαθή, λύσιν ἡμῖν πᾶσιν ἁμαρτιῶν, πρεσβείαις σου κατάπεμψον, μητρικαῖς χρωμένη πρὸς τὸν Υἱόν· καὶ πάντας ἐκ κινδύνων, καὶ πάσης βλάβης ῥῦσαι, σὺν Ἀρσενίῳ ἱκετεύουσα.

Καταβασία.

Θεοτόκε ἡ ἐλπίς· καὶ τό, Ἐν νόμῳ σκιᾷ.

Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

Κερκύρας Πόλις σήμερον, λαμπρυνομένη σκίρτησον, τὴν ἑορτὴν Ἀρσενίου, τοῦ σοῦ προέδρου τελοῦσα· καὶ τοῦτον μεγαλύνουσα, ὡς πολιοῦχον αἴτησαι, ἀλώβητον ἀπὸ πάντων τῶν δυσχερῶν σε φυλάττειν.

Θεοτοκίον, ὅμοιον.

Παρθένε παναμώμητε, τῇ ὥρᾳ τοῦ θανάτου μου, προφθάσασά με λύτρωσαι τῶν πονηρῶν τελωνίων· καὶ τὴν ψυχήν μου φύλαξον, ὁδεῦσαι δυναμοῦσά με, καὶ εἰς προσκύνησιν φθάσαι, τοῦ φοβεροῦ θείου θρόνου.



Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄.

καὶ ψάλλομεν τὰ παρόντα στιχηρά, ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἡ Βηθανία Λαζάρου Πατρίς σε ἤνθησεν, Ἀρσένιε Θεόφρον ὥσπερ ῥόδον εὐῶδες, ὀδμαῖς σου ταῖς ἐνθέοις Κόσμου παντός, τὰς αἰσθήσεις εὐφραίνοντα, καὶ τῶν δογμάτων ὀρθότητι εὐσεβῶς, διιθύνοντα τὸ Ποίμνιον.

Τῶν Κερκυραίων ὁ δῆμος σὲ κατεπλούτησε, Ποιμένα καὶ προστάτην καὶ πιστὸν ποδηγέτην· Διὸ πρὸς Βασιλίδα Πόλιν σοφέ, σὲ μεσίτην προὐβάλετο, ὀργὴν πραΰνας τοῦ Ἄνακτος κατ᾽ αὐτῶν, ἣν ἀδίκως ἀπεφήνατο.

Ἐν τῷ σεπτῷ δὲ Ναῷ σου συναθροιζόμενοι, πρὸς τὸν Θεόν σε πρέσβυν προβαλλόμεθα πάντες, ἐντεύξεσί σου θείαις ὅπως καὶ νῦν, λυτρωθῶμεν Ἀρσένιε, πειρατηρίων παντοίων καὶ τοῦ πυρός, τῆς μελλούσης κατακρίσεως.

Δόξα, ἦχος β΄.

Ἡ Κέρκυρα σήμερον λαμπρῶς πανηγυρίζει, ἐκτελοῦσα τὴν πανίερόν σου μνήμην Ἱεράρχα Ἀρσένιε. Ἣν μετὰ καὶ τοῦ τρισμάκαρος καὶ τερατουργοῦ Σπυρίδωνος, περιέποντες διαφυλάττετε ἄτρωτον, ταῖς ὑμῶν εὐπροσδέκτοις ἱκεσίαις πρὸς Κύριον.

Καὶ νῦν, ὁ αὐτός.

Τὸν ἱερὸν ἡ ἱερὰ Παρθένος προσεκόμισεν, ἐν ἱερῷ τῷ Ἱερεῖ, ἁπλώσας δ᾽ ἀγκάλας ὁ Συμεών, ἐδέξατο τοῦτον ἀγαλλόμενος καὶ ἐβόησε. Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, Κύριε.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά,

καὶ ἐκ τῶν Κανόνων ἡ γ΄. καὶ ϛ΄. ᾠδή·

Ἀπόστολος.

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα.

Εἰς τὸ ἐξαιρέτως Μεγαλυνάριον.

Χαίροις Βηθανίας γόνε κλεινὲ (ὡς ἄνω).

Κοινωνικόν.

Εἰς Μνημόσυνον αἰώνιον.

Τέλος καὶ τῷ Θεῷ χάρις.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΑΓΙΑΣ, ΚΑΙ ΘΕΟΣΤΕΠΤΟΥ ΒΑΣΙΛΙΔΟΣ

# ΘΕΟΔΩΡΑΣ

**ΤΗΣ ΣΤΕΡΕΩΣΑΣΗΣ ΤΗΝ ΟΡΘΟΔΟΞΙΑΝ.**

Ψαλλομένη τῇ ἑνδεκάτῃ τοῦ

**ΦΕΥΡΟΥΑΡΙΟΥ ΜΗΝΟΣ**

Συντεθεῖσα παρὰ Ἑμμανουὴλ Ἱερέως τοῦ Τζάνε λεγομένου Μπουνιαλῆ, τοῦ εἰκονογράφου, Ἐφημερίου ἐν τῷ ναῷ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τῶν Ἑλλήνων τοῦ ἐν ταῖς κλειναῖς Βενετίαις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΜΗΝΙ ΦΕΥΡΟΥΑΡΙΩ ΕΝΔΕΚΑΤΗ

*μνήμην ἐπιτελοῦμεν*

τῆς Ἁγίας Θεοστέπτου καὶ Βασιλίδος ΘΕΟΔΩΡΑΣ, τῆς στερεωσάσης τὴν Ὀρθοδοξίαν.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τὰ παρόντα γ΄.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Αἰνοῦντες τοῖς χείλεσι, καὶ ἀνακρούοντες μέλος, καρδιῶν τῇ φόρμιγγι ψαλμικῶς Θεόφρονες διηχήσωμεν, τῆς παμμακαρίστου, ἀξιοπρεποῦς τε Βασιλίδος τὸ μνημόσυνον, αὐτὴ γὰρ πέφυκε τῆς Ὀρθοδοξίας τὸ στήριγμα, Χριστοῦ τὰ ἐκτυπώματα, καὶ τῆς Θεοτόκου τιμήσασα, καὶ ἁγίων πάντων, μεθ᾿ ὧν ἀεὶ παρίσταται Θεῷ, ἐν παῤῥησίᾳ πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἡ θήκη Θεόστεπτε, τῶν σῶν ἁγίων λειψάνων, πλήρης οὖσα χάριτος, καταφλέγει δαίμονας καὶ αἱρέσεως, τὴν δυσωδεστάτην, ψυχόλεθρον λύμην, ἀπελαύνει τε καὶ ῥώννυσι, πιστῶν τὸ φρόνημα, θείᾳ εὐωδίᾳ τοῦ Πνεύματος, ἀεὶ ἀρωματίζουσα, Ἐκκλησίας πάσης τὸ πρόσωπον, ἥτις σοὶ προσφέρει ἐν πίστει χαριστήριον ᾠδήν, πανευλαβῶς τὴν προσκύνησιν, τῶν εἰκόνων στέργουσα.

Ὄντως θείου Πνεύματος ἐν τῇ ψυχῇ σου ἡ χάρις, ὡσεὶ πῦρ ἐνσκήψασα νοητὸν σπινθῆρά σε ἀπειργάσατο, καὶ ἐκ σοῦ ἀνῆψε πίστεως τὴν φλόγα, ὑπεμφαίνουσα μετέωρον, ἐν ᾗ ἐνέπρησε τὰ τῶν μισοχρίστων ζιζάνια, τὸ Ἐκκλησίας φρόνημα δείξασα χρυσίου λαμπρότερον, ὅθεν Θεοδώρα, τιμῶμέν σου τὴν θείαν ἑορτήν, πίστει θερμῇ προσπτυσσόμενοι σκῆνός σου τὸ ἅγιον.

Δόξα, ἦχος πλ. β΄.

Τίς ἐπαξίως διηγήσεται τὰς θεαυγεῖς ἀρετὰς τῆς πολιτείας σου Θεοδώρα ἀξιύμνητε; ἢ ποία γλῶσσα τῆς θερμῆς σου πίστεως ἀποφθέγξεται τὸ σθένος; σὺ γὰρ ἐν τούτῳ ἐτροπώσω στίφος

δυσμενῶν, τὸ κατὰ τῶν Ὀρθοδόξων ἀντιμαχόμενον, ὅθεν οὐ μόνον τὴν προσκύνησιν τῶν ἱερῶν εἰκόνων ἐκράτυνας, ἀλλὰ καὶ τὸν σὸν θεομισῆ σύνευνον ἐκ χάους ᾅδου ἀνείλκυσας. φρούρησον οὖν καὶ ἡμᾶς ταῖς θεοπειθέσι σου ἐντεύξεσι, τοὺς τελοῦντας τὴν μνήμην σου, καὶ πιστῶς δοξάζοντας τὸν δοξάσαντά σε Κύριον.

Καὶ νῦν, ὁ αὐτός Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον, ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· Αὐτὸν ἱκέτευε Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρὸν καὶ τὰ Ἀναγνώσματα εἰς Ἱεράρχην.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια. ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Ὤφθης πολυτίμητον δῶρον τῷ πάντων δεσπόζοντι, ταῖς ἀρίσταις σου πράξεσιν, Αὐγοῦστα ὑπέρλαμπρε, σὺ γὰρ κατεστρέψω τοὺς πανολεθρίους εἰκονομάχους πανσθενῶς, εἰκόνας θείας ἀναστηλώσασα, διό σε μακαρίζομεν μεγαλοφώνως, θεόστεπτε, Θεοδώρα γεραίροντες ἐπαξίως τὴν μνήμην σου.

Ὁ πανυπεράρχιος καὶ βασιλεὺς πάσης κτίσεως, ἐν ἐλαίῳ ἁγίῳ σε, Χριστὸς ὁ φιλάνθρωπος χρίει βασιλίδα, σκῆπτρα παρασχὼν σοι πόλεως πόλεων πασῶν, ἣν διοικοῦσα δικαίοις νόμοις σου, ἐπήρθης πρὸς μετάρσιον ὕψος τῆς ἄνω λαμπρότητος, σὺν αὐτῷ βασιλεύουσα, Θεοδώρα πανθαύμαστε.

Πέφυκας, πανσέβαστε, ταλαιπωρούντων ἀνάψυξις, τῶν βασάνων κατάπαυσις, ἁγίων ἀνάῤῥυσις, καταπονουμένων, ὑπὲρ εὐσεβείας καὶ ἄπαυστος ἐπαῤῥωγή, Ὀρθοδοξίας στήλη ἀκράδαντος, οἴκου Θεοῦ εὐπρέπεια, σεπτῶν εἰκόνων ἐπίκουρος, δι' ὧν φῶς τὸ ἀνέσπερον γηθομένη κατῴκησας.



Δόξα. ἦχος πλ. δ'.

Βασιλικὴ πανήγυρις ἐπέστη ἡμῖν σήμερον, ὦ φιλοθεάμονες, δεῦτε οὖν σκιρτήσωμεν, καὶ φωναῖς ἀνακράζοντες ἀλαλάγματος, θεωρήσωμεν Θεόστεπτον Ἄνασσαν, τῶν πονηρῶν ἡττημένων αἴρουσαν τρόπαιον, ὥς τ' ἐπινίκιον ᾄδοντες αὐτῇ οὕτως εἴπωμεν. χαῖρε πανευκλεὴς βασιλὶς τῶν ἱερῶν Εἰκόνων ὑπέρμαχος καὶ τῆς θεολατρείας ζῶσα εἰκών, σὲ εὐλαβῶς προσκυνοῦμεν τὴν τὰς εἰκόνας προσκυνεῖσθαι ὑπάρξασαν αἴτιον καὶ ἐκτενῶς ἱκετεύομεν, Θεοδώρα, θείων δωρεῶν ἐφικέσθαι τὰς ψυχὰς ἡμῶν(1).

Καὶ νῦν, Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου, Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον. Ὀρθοδοξίας ὁδηγέ.

Ὀρθοδοξίας καλλονὴ εὐσεβείας ἀκρόπολις, καὶ ἐπίκουρος τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, σεπτῶν εἰκόνων φαιδρὰ διακόσμησις, Βασίλισσα σεμνή, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, λύτρωσαι ἐκ τῶν αἱρέσεων τοὺς εὐφημοῦντάς σε, ἄνωθεν ἀεὶ ἁμαρτημάτων τὴν λύσιν βραβεύουσα.

Δόξα καὶ νῦν Θεοτοκίον καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ,

κάθ. ἦχος γ'.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τὴν ἀξιέπαινον Ἄνασσαν ἅπαντες, πιστοὶ ἐν ᾄσμασιν ἀνευφημήσωμεν, καὶ Ὀρθοδόξως πρὸς αὐτὴν συνδράμωμεν ἐκβοῶντες, χαῖρε ἡ ὑπέρμαχος τῶν εἰκόνων καὶ στήριγμα, εἰκονομαχούντων δὲ ἀπώλεια καὶ σύντριμμα, φρουρὰ τῆς Ἐκκλησίας ἀνύστακτος, ζῶσα εἰκὼν καὶ σεμνοπρέπεια.

Καὶ νῦν, Θεοτοκίον. Τὴν ὡραιότητα.

Οἱ ἀναβαθμοί. Τὸ α'. Ἀντίφωνον.

(1) Ἐνταῦθα τὸ ἐφικνοῦμαι συντ. μετὰ γενικῆς, ἄρα πρέπει ἡ γενικὴ ψυχῶν εἰς αἰτιατικήν, ὡς ὑποκείμενον, νὰ τραπῇ. (Σημ. Ἐκδ.)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐκ νεοτητός μου.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε.

Εὐαγγέλιον. Ὅστις θέλει ὀπίσω μου. ὁ Ν΄.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με, ἦχος πλ. β΄. Βάσιμον κρηπῖδα, (ὅρα εἰς τὴν λιτήν.)

Σῶσον ὁ Θεὸς τὸν λαόν σου· καὶ ἑξῆς ὁ Κανών.

Κανὼν τῆς Ἁγίας Θεοστέπτου καὶ Βασιλίδος ΘΕΟΔΩΡΑΣ.

Ποίημα Ἐμμανουὴλ Τζάνε τοῦ εὐτελοῦς πρεσβυτέρου καὶ εἰκονογράφου.

Ὠδή, ά. ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Γεραίρειν τὰς θεαρέστους πράξεις σου, Θεόφρων Ἄνασσα, ἰλιγγιῶ ὁ ἄμουσος ἐγώ, διὰ τοῦτο προσφεύγω αἰτῶν, γνώσεως φῶς πεμφθῆναί μοι, παρὰ Κυρίου ταῖς πρεσβείαις σου.

Σὺ ὄντως τῶν βασιλίδων πέφηνας, κλέος Θεόστεπτε, εἰκονομάχων θραῦσις παντελής, Θεοδώρα καὶ σθένος ἡμῶν, τῶν Ὀρθοδόξων, ὅθεν σε εὐσεβοφρόνως μακαρίζομεν.

Ὡς πάλαι σὺ παρ᾽ ἐλπίδα ἔσωσας ἐξ ᾅδου πάνσεμνε, ἄνδρα τὸν σὸν βοῶσα πρὸς Θεόν, Θεοδώρα ἐν πίστει θερμῇ, οὕτω καὶ νῦν δυσώπησον, σωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Οὐ γράφω μορφὴν τῆς θείας φύσεως, τυφλοὶ μὴ ψεύδεσθε, ἁπλῆ γὰρ καὶ ἀνείδεος ἐστίν, ἀλλὰ τύπον σαρκὸς ἱστορῶ, τοῦ ἐξ ἁγνῆς Παρθένου τε ἄνευ σπορᾶς ἐνανθρωπήσαντος.

Ὠδή, γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Παρήλασας ἐμφανῶς, Δεβόῤῥας σύνεσιν σοφὴ Ἄνασσα, βάθει φρενὸς κρίνουσα, ἔγκριτον λαὸν Χριστεπώνυμον.

Ἀγλάϊσμα εὐκλεές, τῆς βασιλίδος ἁπασῶν πόλεων, σὲ ὁ Χριστὸς ἔδειξε, καὶ δῶρον σεμνή, ἀξιόθεον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Κατέῤῥαξας ἐν τῇ γῇ τὸ ἐπηρμένον, καὶ δεινὸν φρόνημα, αἱρετικῶν πάντιμε, καὶ μορφὰς τὰς θείας ἀνύψωσας.

Θεοτοκίον.

Σαρκούμενος ἐκ τῶν σῶν, αἱμάτων πάναγνε, Θεὸς ὁ ἄναρχος περιγραπτὸς γέγονε, τῇ σαρκὶ ὁ ὢν ἀπερίγραπτος.

κάθ. ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Ὀρθοδόξου πίστεως, στήλη λαμπρὰ σὺ ὑπάρχεις, προφανῶς Βασίλισσα πανευσεβὴς Θεοδώρα, ἔγερσις σεπτῶν εἰκόνων στερεωτάτη, πτῶσις δὲ εἰκονομάχων παντελεστάτη, καὶ Κερκύρας μέγα κλέος, σεπτῶς τιμώσης τὸ ἅγιον σκῆνός σου.

καὶ νῦν, Θεοτοκίον.

Ὠδή, δ΄. Ἐπαρθέντα σὲ ἰδοῦσα ἡ Ἐκκλησία.

Διασκέδασον βουλεύματα τῶν βαρβάρων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, φρούρησον Κέρκυραν, τὴν σὲ σεβομένην πιστῶς, εἰκόνων ὑπέρμαχε σώφρων καὶ θεόληπτε, Ἄνασσα.

Τὴν εὐπρέπειαν ἠράσθης οἴκου Κυρίου, καὶ ἐν σεπτοῖς μορφώσεσι τοῦτον ὡραΐσω· ὅθεν Θεοδώρα σεμνή, θεόθεν ἀπείληφας δόξης ἀμαράντινον στέφανον.

Θεοῦ ἄνωθεν πορφύραν περιλαβοῦσα, δι᾽ ἀμοιβὴν τῶν ἔργων σου ἔνδοξε εἰσῆλθες, ἔσω τοῦ νυμφῶνος Χριστοῦ σκιρτῶσα, καὶ μέλπουσα, ὕμνον σὺν Ἀγγέλων στρατεύμασιν.

Θεοτοκίον.

Μῆτερ ἀνύμφευτε, Μαρία Θεοκυῆτορ, τοὺς τὴν σεπτὴν εἰκόνα σου πίστει προσκυνοῦντας, σῶσον ἐκ κινδύνων δεινῶν, καὶ πάσης κολάσεως, θείαις μεσιτείαις σου λύτρωσαι.

Ὠδή, έ. Σὺ Κύριέ μου φῶς εἰς τὸν κόσμον.

Ἡμέρας καὶ νυκτός, οὐκ ἐπαύσω πρεσβεύουσα πρὸς Κύριον Θεοδώρα, παρασχεῖν Ὀρθοδόξοις, δεινῶν τὴν ἀπολύτρωσιν.

Ἐπλήρωσε Θεός, τὰς ἐντεύξεις σου Ἄνασσα, καὶ πάσῃ τῇ Ἐκκλησίᾳ τὴν ἐξ ὕψους εἰρήνην, βραβεύσας σὲ ἐδόξασε.

Αγάπην ἀληθῆ, καὶ τελείαν συμπάθειαν, φορέσασα ὡς πορφύραν, εἰς τὰ ἄνω ἁγία, κατῴκησας βασίλεια.

Θεοτοκίον.

Σὲ μόνην ἐκλεκτήν, καὶ καλήν, καὶ ἀμώμητον, εὑράμενος σωματοῦται, ὁ ὑπέρθεος λόγος, ἐκ σοῦ Θεοχαρίτωτε.

Ὠδή, ς΄. Θύσωσοι μετὰ φωνῆς.

Μένει σου διὰ παντός, σεμνὴ τὸ μνημόσυνον, τὸ σὸν γὰρ δόγμα τηροῦσα ἐτησίως πᾶσα ἡ Ἐκκλησία, ἐγκαινίζει τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν.

Σῶσόν με μόνε Θεέ, τὸν ἄσωτον δέομαι, τῆς ἱερᾶς Θεοδώρας ἱκεσίαις, σῶσον με τὸν πολλά σοι, ἐπταικότα ὡς καὶ τὸν ταύτης ἔσωσας σύνευνον.

Σέβομεν εἰλικρινῶς, τὴν μνήμην σου Ἄνασσα, καὶ μακαρίζομεν τρόπους, τοὺς σεμνοὺς τῆς θείας σου πολιτείας, προσκυνοῦντες Θεῷ τῷ ἐπαξίως σὲ στέψαντι.

Θεοτοκίον.

Ολην σε περιστεράν, τελείαν καὶ πάγκαλον, καὶ τηλαυγὲς εὑρὼν κρίνον, καὶ κοιλάδων ἄνθος, ὢ θεομῆτορ, ὁ νυμφίος ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσεν.

Κοντάκιον. ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Εὐσεβείας ἄνθεσιν ὡραϊσθεῖσα ἁγία, καὶ στεφθεῖσα στέμματι χειρὶ Θεοῦ Θεοδώρα, πρόμαχος τῆς Ἐκκλησίας ἁπάσης ὤφθης, στήσασα Χριστοῦ εἰκόνα ἀδιστάκτως προσκυνεῖσθαι καὶ τῶν ἁγίων, μεθ᾽ ὧν συνήφθης εἰς λῆξιν οὐράνιον.

Ορθοδόξως τὸν νοῦν πρὸς Χριστὸν ἀνυψώσωμεν, δυσωποῦντες αὐτὸν νῷ καρδίᾳ καὶ χείλεσιν, ὅπως ἡμῖν τῆς τρισσοφεγγοῦς φωτοφανείας, ἑνοποιὸν ἀγαθοδότως φοιτῶσαν παράσχῃ δύναμιν, ἐπαξίως αἰνέσαι τὴν αὐτὸν δοξάσασαν Ἄνασσαν. ὡς τῆς πίστεως πρόμαχον, καὶ τῆς Ἐκκλησίας συλλήπτορα πρόθυμον. αὕτη γὰρ πέλει ἀληθῶς εὐσεβείας τὸ κράτος καὶ στήριγμα, ἠμφιεσμένη εὐσεβῶς τοῦ Κυρίου τὸν Σταυρὸν ἐν τῇ πόλει Βυζαντίδι, ἀναστηλώσασα τὰς θείας καὶ πανσέπτους εἰκόνας μετὰ τοῦ υἱοῦ αὐτῆς καὶ τῶν θείων πατέρων, μεθ᾽ ὧν συνήφθη εἰς λῆξιν οὐράνιον.



Τῷ αὐτῷ Μηνὶ ΙΑ΄. Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν ΘΕΟΔΩΡΑΣ Τῆς Αὐγούστης, τῆς στερεωσάσης τὴν Ὀρθοδοξίαν.

Στίχ. Τὴν Θεοδώραν Αὐγούσταν τιμῶ χαίρων,
Τὴν τιμήσασαν Χριστοῦ μου τὴν εἰκόνα.

Αὕτη ἐγένετο γυνὴ Θεοφίλου τοῦ βασιλέως τοῦ εἰκονομάχου, οὐκ ἦν δὲ αἱρετική, ὥσπερ ὁ ταύτης ἀνήρ. Ἐκεῖνος μὲν γὰρ τὸν Ἅγιον Μεθόδιον Πατριάρχην Κωνσταντινουπόλεως ἐξώρισεν, ἀντ᾽ ἐκείνου δὲ προεβάλετο Ἰωάννην τὸν Λεκανομάντιν, καὶ τὰς ἁγίας εἰκόνας κατέκαυσεν. Αὕτη δέ, εἰ καὶ φανερῶς οὐκ ἐτόλμα προσκυνεῖν τὰς ἁγίας εἰκόνας, ὅμως εἶχεν αὐτὰς κεκρυμμένας εἰς τὸν κοιτῶνα αὐτῆς, καὶ τῇ νυκτὶ ἵστατο προσευχομένη καὶ παρακαλοῦσα τὸν Θεόν, ἵνα ποιήσῃ ἔλεος μετὰ τῶν Ὀρθοδόξων. Ἐγέννησε δὲ υἱόν, ὀνόματι Μιχαήλ, καὶ ἐδίδαξεν αὐτὸν τὴν Ὀρθοδοξίαν. Μετὰ δὲ τὴν τελευτὴν τοῦ ἀνδρὸς αὐτῆς, εὐθέως ἤγαγε τὸν Ἅγιον Μεθόδιον, καὶ συνήθροισε τὴν Ἱερὰν Σύνοδον, καὶ ἀνεθεμάτισε τοὺς Εἰκονομάχους, καὶ τὸν Ἰωάννην κατεβίβασε τοῦ θρόνου, καὶ τὰς ἁγίας εἰκόνας εἰσήγαγεν ἐν τῇ Ἐκκλησίᾳ. Εἶτα ἐτελεύτησε, καταλιποῦσα τὴν βασιλείαν τῷ υἱῷ αὐτῆς Μιχαήλ.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου, Ἀρχιεπισκόπου Σεβαστείας τοῦ θαυματουργοῦ.

Στίχ. Λαιμὸν Βλάσιος ἐκκοπεὶς διὰ ξίφους.
Ἀλγοῦσι λαιμοῖς ῥευμάτων εἴργει βλάβας.
Ἐνδεκάτῃ Βλασίου τάμεν αὐχένα χαλκὸς ἀτηρής.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δύω παῖδες, οἱ συναθλήσαντες τῷ ἁγίῳ Βλασίῳ μετὰ τῶν ἑπτὰ γυναικῶν, ξίφει τελειοῦνται.

Στίχ. Βαβαὶ τοσαύτης παιδίων εὐθαρσίας.
Σπεύδουσιν ἄμφω, ποῖον ἐκτμηθῇ φθάσαν.
Κτείνει Γυναῖκας ἑπτὰ σεπτὰς τὸ ξίφος,
Οὐ τῇ γυναικῶν συσχεθείσας δειλίᾳ.

Τῇ αὐτῇ ἡμέρα, Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ζαχαρίου τοῦ προφήτου, τοῦ Πατρὸς τοῦ τιμίου Προδρόμου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στίχ. Φανεὶς ὁ νεκρὸς γῆθεν ὁ Ζαχαρίου.
Τοῖς ζῶσι πιστοῖς, ἄφθονον βλύζει χάριν.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς, Ἀμήν.

Ὠδὴ, ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι παῖδες.

Ἐν εὐφροσύνῃ ἡ Ἐκκλησία πᾶσα τῶν εὐσεβῶν, πόθῳ ἐκτελεῖ σου μνήμην τὴν ἱεράν, Θεοδώρα πανσεβάσμιε, ἥνπερ φυλάξαις θείαις σου εὐχαῖς, ἐκ πάσης αἱρέσεως ἄτρωτον.

Τελείῳ μίσει σὺ ἐμισήσω ἅπαν φθοροποιόν, στῖφος τῶν μισούντων θείαν Χριστοῦ μορφήν, καὶ τῆς μόνης Θεομήτορος, ἀποπληροῦσα πρόῤῥησιν Δαβίδ, οἵαπερ βασίλισσα ἔνθεος.

Σὺ μακαρία ὄντως Αὐγούστα πέλεις ἐν οὐρανοῖς, θέσει θεουμένη κάλλη τὰ ὑπὲρ νοῦν, καθορῶσα τῆς Θεότητος, ἐξ ἧς προχέεις ἄφεσιν ἡμῖν, πταισμάτων τοῖς πίστει σε μέλπουσι.

Θεοτοκίον.

Τῆς πανάγνου βρεφοκρατούσης κόρης, εἶδος ἐμφερείας, οἷα Μητρὸς Θεοῦ πίστει σέβοντες κραυγάζομεν, χαῖρε τροφὲ τοῦ ἅπασαν πνοὴν τῷ νεύματι τρέφοντος.

Ὠδὴ, η΄. Χεῖρας ἐκπετάσας.

Ὅλη πτερουμένη θεϊκῆς χάριτος ἔρωτι, πανυπερσέβαστε, πιστῶν συστήματα ἤθροισας, εἰς ναὸν Θεοῦ τὸν ἅγιον, καὶ κακοδόξων τὰς βουλὰς τῷ ἀναθέματι παραδοῦσα, μορφὰς τὰς θείας ἐνδόξως ἐτίμησας.

Πλήθη Ὀρθοδόξων ἐκ πολλῶν ἐῤῥύσω θλίψεων, Αὐγούστα ἔνδοξε, χαρᾶς πληρώσασα τῷ θεοφόβῳ σου νεύματι, εἰκονομάχους δὲ δεινοὺς πόῤῥω ἐξέπεμψας ὡς κακούργους, μεγίστην λύπην αὐτοῖς προξενήσασα.

Ὀρθῆς μὲν ἐν πᾶσι συνετὴ τοῖς κόσμου πέρασιν ἁγία Ἄνασσα, γυνὴ ἀνδρείας φρονήσεως Θεοδώρα. σὺ γὰρ ἤστραψας ἔργοις, ὡς πάλαι ἡ Ἐσθήρ, λυτρωσαμένη ἐκ τοῦ θανάτου τοὺς χριστωνύμους, καὶ πλάνην νεκρώσασα.

Θεοτοκίον.



Ὁ Πλήρης καινοῦται δι' ἡμᾶς, ἵνα πληρώσεως αὐτοῦ μετάσχωμεν, τῇ γὰρ παναχράντῳ μήτρᾳ σου ὁ ἀπερίληπτος Λόγος, τῶν πατρικῶν οὐκ ἀποστάς, κόλπων σεσάρκωται, ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ, θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Παύεις πανισχύρῳ σου κράτει, τοὺς ἀνιέρους Θεοδώρα, φέρουσα εἰς οἶκον Κυρίου μορφὰς τὰς θείας, καὶ σὺν ἀγγέλοις Θεῷ θυσίαν τῆς αἰνέσεως, πληροῦσα θείου ἀνδρὸς λόγια.

Χαῖρε Θεοφρούρητε πόλις, τῶν Κερκυραίων ὅτι ἔχεις, εὖχος τὸ θεάρεστον σκῆνος, τοῦ ἱεράρχου Χριστοῦ Σπυρίδωνος, καὶ βλάβης ἀποτρόπαιον, τῆς Βασιλίδος σῶμα τίμιον.

Νεῦσον πρὸς οἰκτρότατον ὕμνον, τῶν ἀναξίων μου χειλέων, ὅνπερ ἐκ βαθέων καρδίας, πρὸς σὲ ἐκπέμπω ὦ Θεοδώρα σεμνή, καὶ ἐκ βυθοῦ με ἕλκυσον, ἁμαρτημάτων ταῖς πρεσβείαις σου.

Θεοτοκίον.

Φεῖσαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης σε καὶ τῆς σεπτῆς Αὐγούστης σου, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς.

Πίστιν πατροπαράδοτον παιδιόθεν κρατοῦσα, ἀπήμαντον ἐφύλαξας μέχρι τέλους Αὐγούστα, καὶ ἐν γαστρί, διανοίας συλλαβοῦσα τὸν φόβον Κυρίου, ἀπεκύησας πνεῦμα τῆς σωτηρίας, ἐπιμελῶς, Ἐκκλησίας θρέψασα τὰς ἀγέλας, Ὀρθοδοξίας γάλακτι οἷα Μήτηρ γνησία.

Θεοτοκίον.

Ἐλπὶς τῶν ἀπηλπισμένων, πανύμνητε Θεοτόκε, μετὰ δακρύων βοῶ σοι, ἐκ βάθους μου τῆς καρδίας, ἐξάρπασόν με Παρθένε, ἐκ τῶν τοῦ ᾅδου κευθμώνων.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στιχ. δ΄. καὶ ψάλλομεν στιχηρά, ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Ἐξανατέλλει τῷ κόσμῳ καθάπερ ἥλιος, ἡ παμφαὴς σου μνήμη, εὐκλεὴς Θεοδώρα, τῷ τῆς εὐσεβείας θείῳ πυρσῷ, μυστικῶς καταυγάζουσα, τοὺς Ὀρθοδόξους καὶ κόρας τῶν δυσμενῶν μισεικόνων ἀπαμβλύνουσα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δέξαι Αὐγούστα, τὸν ὕμνον οἰκτροῦ μου στόματος, ὃν σοὶ θερμῶς προσφέρω, τὸν οἰκεῖον δεσπότην, Χριστὸν καθικετεύων ὑπὲρ ἐμοῦ, τοῦ παντλήμονος δούλου σου, κατοικτειρῆσαι καὶ σῶσαί μου τὴν ψυχήν, παρειμένην πλημμελήμασιν.

Ὡς ἐλυτρώσω λιταῖς σου ἐξ ᾅδου πάνσεμνε, τὸν δυσμενῆ σου ἄνδρα Θεοδώρα μεγίστη, οὕτω καὶ Κερκύραν τὴν σὲ πιστῶς σεβομένην ἐκλύτρωσαι, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐκ λιμοῦ καὶ λοιμοῦ φθορᾶς καὶ θλίψεως.

Δόξα, ἦχος δ'.

Τῶν τοῦ Θεοῦ δωρεῶν ἐπώνυμος Θεοδώρα σεμνή, πολιτείᾳ τῇ κλήσει διαφόρως ἐξηκολούθησας, καὶ δωρεαῖς πολυτρόποις τὴν Χριστοῦ Ἐκκλησίαν ἐπλούτησας· ὅθεν χρεωστικῶς ἐγκωμίων φωναῖς ἀναλαβοῦσα βοᾷ σοι, χαίροις Ὀρθοδόξων Βασιλίδων εὐκλεέστατον ἀγλάϊσμα καὶ φαιδρὰ λαμπηδών, χαίροις εὐσεβείας ἀκρόπολις, ἀπορθήτοις μὲν τείχεσιν ἠσφαλισμένη, περιπυργουμένη δὲ ἐν εὐχαῖς ἁγίων. μεθ' ὧν πρέσβευε τῷ ἐν Τριάδι Θεῷ λυτρωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Τυπικά· καὶ ἐκ τῶν κανόνων τῆς Ἁγίας καὶ τοῦ Ἱερομάρτυρος ἡ γ'. καὶ ἡ στ'. ᾠδή.

Ἀπόστολος. Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος.

Εὐαγγέλιον κατὰ Ἰωάννην. Ἐγώ εἰμι ἡ Θύρα.

Μεγαλυνάριον.

Χαίροις, Θεοδώρα πανευκλεής, Χαίροις εὐσεβείας ἀνακήρυξις ἀληθής, Χαίροις παῤῥησίαν ἐν Θεῷ κεκτημένη, Αὐγούστα καὶ Ὁσία ἀειμακάριστε.

Κοινωνικόν. Εἰς Μνημόσυνον αἰώνιον.

ΤΕΛΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΒΛΑΣΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## ΣΕΒΑΣΤΕΙΑΣ

ΣΥΛΛΕΧΘΕΙΣΑ

ΥΠΟ ΣΤΥΛΙΑΝΟΥ ΙΕΡΕΩΣ ΚΥΤΡΑΚΑ ΤΟΥ ΚΕΡΚΥΡΑΙΟΥ

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΜΗΝΙ ΦΕΥΡΟΥΑΡΙῼ, ΙΑ΄.

## ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΒΛΑΣΙΟΥ

## **ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ**

## ΣΕΒΑΣΤΕΙΑΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος, α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Ἐν τῇ ἀσκήσει βλαστήσας Ὅσιε Βλάσιε, ἱερωσύνης δόξῃ, ὥσπερ φοῖνιξ δικαίως, ἐξήνθησας παμμάκαρ καρποὺς θεϊκούς, μαρτυρίου προσάγων Θεῷ, τὴν τῶν εἰδώλων κατάλυσιν ἐμφανῶς, καὶ ἀνθρώπων τὴν οἰκείωσιν.

Ποιμαντικῶς διαπρέψας, Ἱερομάρτυς Χριστοῦ, ἀθλητικοὺς ἀγῶνας, ὑπομείνας γενναίως, ἐν δι᾽ ἀμφοτέρων, στέφος λαβών, ἐν ἑκατέροις κοσμούμενος, δικαιοσύνῃ καὶ πόνοις ἀθλητικοῖς· διὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Θείῳ ῥωσθεῖσαι γυναῖκες, ζήλῳ τῆς πίστεως, τοῖς ὑπερτίμοις ἄθλοις, τῆς καλῆς μαρτυρίας, ἐστέφθησαν σὺν τέκνοις, θαῦμα φρικτόν, τὴν κεφαλὴν μὲν ποθοῦσαι Χριστόν, καὶ ἐν αὐτῷ νυμφευθεῖσαι ὑπὲρ αὐτοῦ, τὰς κεφαλὰς ἐναπετμήθησαν.

Ὡς προμηθέα σε πάντων, ὑμνοῦμεν Βλάσιε, καὶ λογικῶν θρεμμάτων, καὶ ἀλόγων πασχόντων, πάντας μὲν ἰσχύεις θεράπον

Χριστοῦ, εὐεργετεῖν καὶ ἰᾶσθαι πιστῶς, τὴν μὲν τοῦ πνεύματος χάριν πεπλουτηκώς, δαψιλεύεις τὰ θαυμάσια.

Χριστὸς τὸ ζῆν σοι παμμάκαρ, καὶ τὸ θανεῖν ἀληθῶς, κέρδος ἐδείχθη πίστει κατὰ Παῦλον τὸν Μέγαν, Βλάσιε θεόφρον, ἐπεὶ δι' αὐτόν, προθυμώτατα τέθνηκας, καὶ σὺν αὐτῷ βασιλεύεις διὰ παντός, εἰς ζωὴν τὴν ἀτελεύτητον.

Ἱερομύστης τοῦ λόγου Πάτερ γενόμενος, Μαρτυρικοῖς τε ἄθλοις σεαυτὸν ἐκλαμπρύνας, Βλάσιε τρισμάκαρ, παρέχοις ἡμῖν, ἰαμάτων χαρίσματα, τοῖς ἐν τῇ μνήμῃ σου ταύτῃ τῇ ἱερᾷ, προσιοῦσι καὶ τιμῶσί σε.

Δόξα. ἦχος, πλ. δ'.

Τοῦ Στουδίτου.

Βλαστήσας ἐν τῇ ἀσκήσει τῶν θείων ἀρετῶν, φερωνύμως Βλάσιε, ἐξήνθησας Δαυϊτικῶς ὥσπερ φοῖνιξ ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, καὶ ὡσεὶ κέδρος ἐπληθύνθης τοῖς κατορθώμασιν· ὡς ἄμπελος δὲ εὐθηνοῦσα ἐν οἴκῳ Θεοῦ, τῷ καιρῷ τοῦ μαρτυρίου τεμνόμενος βασάνων ποιναῖς, ἐκ καρποῦ τῶν ἀγώνων σου, ἔβλυσας ἡμῖν οἶνον νοητόν, ἐξ οὗ πιόντες εὐφροσύνης ἐνθέου τὰς καρδίας πλησθείημεν, καὶ συμφώνως συνελθόντες, ἐν τῇ σεβασμίᾳ μνήμῃ τῆς σῆς τελειώσεως, μακαρίζοντες εὐφημοῦμέν σε, αἰτούμενοι λαβεῖν διὰ σοῦ τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, ὁ αὐτός.

Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα ἅπερ ζήτει εἰς Ἱερομάρτυρα.

Καὶ ἡ συνήθης ἐκτενής.

Εἰς τὴν Λιτήν, στιχ. Ἰδιόμελα, ἦχος, α'.



Ἀνατολίου.

Τὸν θαυμαστὸν ἐν Ἱερεῦσι Μάρτυρα Βλάσιον, ἡ ἐν ὅλῳ τῷ σώματι δοκιμὴ τῶν αἰκισμῶν, τῆς εἰς ἀεὶ τῶν ἀγαθῶν ἐπιτυχεῖν, ἠξίωσε τρυφῆς. Καὶ πλουτεῖ τὰ θεῖα, ὁ πολλοὺς πρὸς ἀγῶνας ἀλείψας, τῷ καθ' αὐτὸν ὑποδείγματι, καὶ πᾶσαν τὴν σάρκα ἀνωτέρῳ φρονεῖν τοῦ θανάτου· πρὸς ὃν οἱ πιστοὶ βοήσωμεν· Μεγαλομάρτυς ἀοίδιμε, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, τὰς χρονίους ἐνστάσεις, λῦσον τῶν παθῶν ἡμῶν, καὶ ῥῦσαι τῶν δεινῶν ταῖς πρεσβείαις σου.

Ἦχος, πλ. δ'.

Τίς ἐπαξίως τῶν ἀρετῶν σου διηγήσεται τὰ τρόπαια; ποῖον στόμα τοῦ μαρτυρίου τὴν καρτερίαν ἀποφθέγξοιτο; ἐν ἀμφοτέροις μὲν ἠρίστευσας ὦ Βλάσιε. Ἀλλὰ μὴ παύσῃ δυσωπῶν εὐαρεστήσας Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν, ὡς ἔχων Ἱερομάρτυς παῤῥησίαν πολλήν.

Ἦχος ὁ αὐτός.

Εἰς τὸν ἄδυτον γνόφον τοῦ ἀῤῥάστου φωτός, εἰσδύσας νοητῶς, ὁ Μάρτυς καὶ Ποιμήν, ἐμυήθη τὰ ἀπόῤῥητα τῶν Μυστηρίων Θεοῦ. ὡς Μάρτυς μὲν φωτιζόμενος, ὡς Ποιμὴν δὲ Μυσταγωγούμενος. Διὸ διπλοῦς καὶ τοὺς στεφάνους, ἐκ τῆς ἄνω δόξης ἀνεδύσατο, πρεσβεύων πάντοτε Χριστῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος ὁ αὐτός.

Βάσιμον κρηπῖδα ἡ Ἐκκλησία κέκτηται, τοὺς ἱεροὺς σου ἀγῶνας, Ἱερομάρτυς Βλάσιε· ἣν καὶ φυλάττοις ἀκράδαντον, καὶ ἀνεπιβούλευτον, ἐκ λύκων κραταιῶν, κηρύττουσαν τὰς ἀριστείας σου, καὶ μεγαλύνουσαν σὺν σοὶ τὰ Γύναια, τα ὑπὲρ Χριστοῦ τυθέντα, μετὰ σοῦ Μακάριε.

Καὶ νῦν, ὁ αὐτός.

Θεοτοκίον.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Εἰς τὸν στίχ. προσόμ. στιχηρά, ἦχος, δ'.

Ἔδωκας σημείωσιν.

ΠΑΝΕΛΛΗΝΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ηστραψεν ὡς Ἥλιος, ἡ θεία μνήμη σου σήμερον, τοὺς πιστοὺς καταυγάζουσα, τὴν κτίσιν φωτίζουσα, θείαις φρικτωρίαις, Βλάσιε παμμάκαρ, καὶ παθημάτων τὴν ἀχλύν, καὶ τῶν Δαιμόνων σκότος διώκουσα, διό σε μακαρίζομεν, καὶ ἐτησίως γεραίρομεν, ὡς φωστῆρα παγκόσμιον, πρεσβευτὴν ὡς θερμότατον.

στίχ. Τίμιος ἐναντίον Κυρίου.

Σοφῶς ἀντικτώμενος, τῶν ἐπὶ γῆς τὰ Οὐράνια, καὶ ῥεόντων τὰ ἄῤῥευστα, φθαρτῆς δόξης ἄφθαρτον, ἀντιμήψω χαίρων, βασάνων τε νέφους, καὶ αἰκισμῶν καρτερικῶς, τὰ ὑπὲρ λόγον Θεοῦ βασίλεια, ἐν οἷς καὶ ἀγαλλόμενος, σὺν τοῖς συνάθλοις σου ἔνδοξε, ὑπὲρ πάντων ἱκέτευε, τῶν πιστῶς εὐφημούντων σε.

στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Βέλει τῷ τῶν λόγων σου, παρανομούντων συστήματα, παμμακάριστε ἔτρωσας, φωνὴν ὅθεν ἔδωκαν, Οὐρανῶν νεφέλαι, χοροὶ Ἀσωμάτων, συνεπεκρότησαν χαρᾷ, τῶν σῶν ἀγώνων τὴν καρτερότητα· διὸ ἐπαγαλλόμενοι, πίστει σὺν τούτοις τιμῶμέν σε, ὡς φωστῆρα παγκόσμιον, πρεσβευτὴν ὡς θερμότατον.

Δόξα, ἦχος, δ'.

Ως καλὸς παιδοτρίβης, καὶ Διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ καὶ δυνάμει τῶν θείων λόγων σου, γυναῖκας φιλοθέους ὑπήλειψας πρὸς ἀγῶνας μαρτυρικούς, τὸ ἀσθενὲς τῆς φύσεως αὐτῶν ῥωννύων ἐν Χριστῷ. μεθ' ὧν τὸν δρόμον τῆς ἀσκήσεως καλῶς τελέσας, εἰς νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλῃ, διπλῷ στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐταῖς, τὴν εἰρήνην ἡμῖν δοθῆναι, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον.

Ὁ αὐτός.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος, δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει



ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Βλάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισ. ἦχ. α'.

Τὸν τάφον σου Σωτήρ.

Ως ἥλιος ἡμῖν, ἡ ἁγία σου μνήμη, ἀνέτειλε σοφέ, Βλάσιε Ἱεράρχα, καὶ τῶν συμμαρτύρων σου, τοὺς πιστοὺς καταυγάζουσα, ἥν περ σήμερον ἐπιτελοῦντες βοῶμεν, ἱκετεύσατε ὑπὲρ ἡμῶν ἀθλοφόροι, τὸν μόνον φιλάνθρωπον.

Δόξα τὸ αὐτό.

Καὶ νῦν Θεοτοκίον.

Ἐλπὶς χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον. ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ ἀεί σε δοξάζουσιν.

Εἰς τὴν β'. στιχ. Κάθισ. ἦχος, γ'.

Θείας πίστεως ὁμολογίᾳ.

Φέγγος ἤστραψας θεογνωσίας, σκότος ἔλυσας πολυθείας, μαρτυρικῶς ἐκτελέσας τὸν δρόμον σου, καὶ ἰαμάτων πηγάζων χαρίσματα, τῶν προσιόντων καθαίρεις νοσήματα· Μάρτυς Βλάσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα τὸ αὐτό.

Καὶ νῦν Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ Γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος· αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον. Κάθ. ἦχ. δ'.

Ταχὺ προκατάλαβε.

Ἀσκήσει τὸ πρότερον, προκαθαρθεὶς τὴν ψυχήν, ἀθλήσει τὸ δεύτερον, τελειωτάτῳ νοΐ, Θεῷ εὐηρέστησας, Ἱερεύς τε καὶ Μάρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τυς, γέγονας θεοφόρε, στῖφος δὲ προσηγάγω γυναικῶν τῷ Δεσπότῃ. μεθ' ὧν ὑπὲρ ἡμῶν ἐκτενῶς, πρέσβευε ἔνδοξε.

Δόξα τὸ αὐτό.

Καὶ νῦν, Θεοτοκίον.

Ἐπάκουσον Δέσποινα, ἐκ κατωδύνου ψυχῆς βοῶντος τοῦ δούλου σου, καὶ τῶν πολλῶν μου κακῶν, παράσχου μοι ἄφεσιν· σὲ γὰρ ἔχω προστάτιν, ἐν νυκτὶ καὶ ἡμέρᾳ, λύτρωσαι Θεοτόκε, τοῦ πυρὸς τῆς γεέννης, καὶ στῆσον ἐκ δεξιῶν με τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμ. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Εὐαγγέλιον. Ζήτει Νοεμβρίῳ α'. Τὸν Ν'. Εἶτα.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα. Στίχ. Ἐλέησόν με ὁ Θεός. ἦχος, πλ. β'.

Βάσιμον κρηπῖδα ἡ Ἐκκλησία.

Ζήτει εἰς τὴν Λιτήν.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. τὸ Κύριε ἐλέησον, ιβ'. καὶ μετὰ τὴν Ἐκφώνησιν, ὁ Κανὼν τῆς Θεοτόκου εἰς στ'.

Ὠδὴ α'. ἦχος, πλ. δ'.

Ὁ Εἱρμός.

Ἆσμα ἀναπέμψωμεν Λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας, ᾠδὴν ἐπινίκιον ᾄδοντες, καὶ βοῶντες, ᾄσωμέν σοι τῷ μόνῳ Δεσπότῃ.

Ὕμνοις τὴν πανάχραντον πιστοί, Μαρίαν εὐφημήσωμεν, τὴν θεομήτορα, τὴν κεχαριτωμένην, τὴν σκέπην τὴν ἔνθεον, τὸν εὔδιον λιμένα, τὴν τῶν πάντων πιστῶν σωτηρίαν.

Μόνη γυναικῶν κυοφορεῖς, ὑπερφυῶς Πανάμωμε, πεῖραν μὴ γνοῦσα ἀνδρός, τὸν ἕνα τῆς Τριάδος. Διό σε δοξάζομεν, καὶ τὸν ἐκ σοῦ τεχθέντα, ὑπὲρ πᾶσαν αἰτίαν καὶ λόγον.



Κλίμαξ ἀνεδείχθης νοητή, ἣν Ἰακὼβ τεθέαται, ὁ ἐκλεκτὸς τοῦ Θεοῦ, δι' ἧς ἀῤῥήτῳ λόγῳ κατῆλθεν ὁ ἄσαρκος, σὰρξ ἀτρέπτως γενέσθαι, ὑπὲρ λόγον ἐκ σοῦ Θεοτόκε.

Εὔα ἡ προμήτωρ τῇ ἀρᾷ, τὸ γένος καθυπέβαλε, τῇ παραβάσει ποτέ, τὸ τῶν ἀνθρώπων· σὺ δὲ Παρθένε θεόνυμφε, ὅλον πρὸς εὐλογίαν μετηγάγου, τὸν κτίστην τεκοῦσα.

Ὁ Κανὼν τοῦ Ἁγίου. ἦχος, καὶ Εἱρμὸς ὁ αὐτὸς εἰς στ'.

οὗ ἡ ἀκροστιχίς.

Ὕμνοις κροτῶ σε, Μάρτυς, εὐσεβοφρόνως. Ἰωσήφ.

Ὕμνοις τὴν φωσφόρον καὶ σεπτήν, καὶ ἱεράν σου ἄθλησιν, ἀνευφημοῦντα πιστῶς, Χριστοῦ Ἱερομάρτυς, τὸν νοῦν μου καταύγασον, αἴγλῃ φαεινοτάτῃ, παῤῥησίαν ἔχων πρὸς τὸν Κτίστην.

Μίαν χαρακτῆρσιν ἐν τρισίν, ὁμολογῶν Θεότητα, πολυθείας ἀχλύν, ἀπήλασας καὶ ὄρθρος, αὐγάζων εὐσέβειαν, ὤφθης Ἱερομάρτυς, τοῖς ζόφῳ πλάνης κρατουμένοις.

Δόξα.

Νύκτα ἀθείας ἀστραπαῖς, τοῦ ἱεροῦ κηρύγματος, ἀπομειώσας φωστήρ, κοσμούμενος ἐδείχθης, θαυμάτων λαμπρότησι, φέγγει τε μαρτυρίου, καὶ τὴν κτίσιν πᾶσαν καταυγάζεις.

Καὶ νῦν, Θεοτοκίον.

Ὅλην καθαράν σε εὑρηκώς, ὁ καθαρὸς ἐσκήνωσεν, ἐν τῇ νηδύϊ σου, ἁγνὴ παρθενομῆτορ, καὶ σὰρξ ἐχρημάτισε, δίχα τῆς ἁμαρτίας, ἵνα πλάνης ἡμᾶς ἀπαλλάξῃ.

Καταβασία.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. τῆς Θεοτόκου.

Ὁ Εἱρμός.

Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Νύμφην σε ἀνύμφευτον, καὶ καθαρὸν ἁγνὴ σκήνωμα, τοῦ ποιητοῦ, καὶ ἁγιωτέραν, Χερουβὶμ ἐπιστάμεθα.

Ἥνωται ὁ Κτίστης μου, ὑπερφυῶς ἐν σοὶ Δέσποινα, ὅλον ἐμέ, θέλων ἀναπλάσαι, διὰ σοῦ ὡς ηὐδόκησεν.

Ἔχων σε βοήθειαν, οὐκ αἰσχυνθήσομαι πάναγνε, Μήτηρ Θεοῦ, ἔχων σε προστάτιν, τῆς ζωῆς μου, σωθήσομαι.

Εὗρέ σε βοήθειαν, τὴν Θεομήτορα πάναγνον, ὁ εὐκλεής, Βλάσιος Ἱερομάρτυς, καὶ τυράννους κατῄσχυνεν.

Τοῦ Ἁγίου. Ὁ Εἱρμός.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ᾽ ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Οἱ ταῖς ἀκάνθαις, συμπνιγόμενοι ταῖς τοῦ βίου, ἀπαύστως Βλάσιε συμπτωμάτων, σῆς πρεσβείας τῇ δρεπάνῃ καθαίρονται, προστάτην σε προσκαλούμενοι.

Τῇ πρὸς τὸ θεῖον, ἀνανεύσει ὁλικωτάτῃ, βασάνων ἤνεγκας τρικυμίαν, ξεομένης τῆς σαρκός σου, ὥσπερ πάσχοντος ἑτέρου, σὺ διακείμενος.

Δόξα.

Ὡς Ἱεράρχης, ὡς ἀήττητος ἀθλοφόρος, ὡς θείᾳ δόξῃ ἠγλαϊσμένος, ἀκροτάτῳ ἐφετῷ νῦν παρίστασαι, πρεσβεύων ὑπὲρ τῆς ποίμνης σου.

Καὶ νῦν, Θεοτοκίον.

Σὲ τὴν φανεῖσαν ὑπερέχουσαν τῶν κτισμάτων, ὡς πάντων οὖσαν ἁγιωτέραν, ἐν αἰνέσει γενεαὶ μακαρίζουσιν, ἀνθρώπων, θεομακάριστε.

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.



Κάθισμα, ἦχος, πλ. δ᾽. Τὴν σοφίαν καὶ Λόγον.

Ἐκβλαστήσας ὡς δένδρον πανευθαλές, ἐν τῷ οἴκῳ Κυρίου ἱερουργέ, πολλοὺς κατεφύτευσας, πρὸς τὴν γῆν τὴν σωτήριον· καὶ ὡς κριὸς ποιμνίου, καλῶς ἡγησάμενος, δεσμευθεὶς ἐσφάγης, θυσία γενόμενος, τῷ δι᾽ εὐσπλαγχνίαν, ὡς ἀρνίον σφαγέντι, καὶ χαίρων ἀνέδραμες, πρὸς αὐτὸν Πάτερ Βλάσιε. Διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Παναγία παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος, οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ δ᾽. τῆς Θεοτόκου.

Ὁ Εἱρμός.

Ἐξ ὄρους κατασκίου, Λόγε ὁ προφήτης, τῆς μόνης Θεοτόκου, μέλλοντος σαρκοῦσθαι, θεοπτικῶς κατενόησεν ἐν φόβῳ, καὶ ἐδοξολόγει σου τὴν δύναμιν.

Νύμφη τοῦ Θεοῦ Μαρία Θεοτόκε, ῥῦσαί με δεινῶν πταισμάτων καὶ κινδύνων, γεγεννημένων ἐν βίῳ, καὶ πρὸς γαλήνης λιμένα καὶ σωτηρίας, ταῖς σαῖς πρεσβείαις καθοδήγησον.

Νέον ἐπὶ γῆς, ἐγέννησας παιδίον, τὸν ἐκ τοῦ Πατρός, πρὸ πάντων τῶν αἰώνων, γεγεννημένον ἀῤῥεύστως, Μήτηρ ἁγία, χριστιανῶν ἡ ἐπανόρθωσις.

Χαίροις παρ᾽ ἡμῶν, ἁγία Θεοτόκε. Χαῖρε ἡ χαράν, κυήσασα τῷ Κόσμῳ. Χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων, εὐλογημένη Θεοτόκε Ἁγνή.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Χαῖρε θησαυρὲ τοῦ λάμψαντος Ἡλίου. Χαῖρε νοερά, πηγὴ τῶν ἰαμάτων. Χαῖρε τὸ ἅγιον ὄρος ὃ ὁ προφήτης, θεογεννῆτορ προεώρακεν.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ἔχων τὴν ψυχήν, ἀΰλῳ φωταυγίᾳ, Μάρτυς καὶ Ποιμήν, φαιδρῶς αὐγαζομένην, δικαστικῶν πρὸ βημάτων ἔστης ἀνδρείως, ὁμολογῶν Θεοῦ τὴν σάρκωσιν.

Μύστης Ἱερεύς, καὶ Μάρτυς στεφηφόρος, στύλος ἀκλινής, καὶ βάσις εὐσεβείας, καὶ ἀληθείας ἑδραίωμα ἐγνωρίσθης, τῇ Ἐκκλησίᾳ Μάρτυς Βλάσιε.

Ἄρνας λογικούς, ἐποίμανας ὁσίως, θῦμα δὲ δεκτόν, προσήχθης τῷ Δεσπότῃ, ὁλοκαυτούμενον ἄνθραξι μαρτυρίου, ἱερομύστα πανσεβάσμιε.

Δόξα.

Ῥήσει σου σοφῶν, χειλέων ἀπεφράγη, χείλη πονηρά, λαλοῦντα βλασφημίαν, εἰς τὸν τῶν ὅλων Δεσπότην καὶ Βασιλέα, Ἱεροκῆρυξ ἀξιάγαστε.

Καὶ νῦν, Θεοτοκίον.

Τόμον σε καινόν, προεῖδεν ὁ Προφήτης, ἔχοντα Θεοῦ, τὸν Λόγον γεγραμμένον, τὸν διαῤῥήξαντα Κόρη τῆς ἁμαρτίας, τῶν προπατόρων τὸ χειρόγραφον.

Καταβασία.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε.

Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

Τὸν ζόφον τῆς ψυχῆς μου διασκέδασον, φωτοδότα Χριστὲ ὁ Θεός, ὁ τὸ ἀρχέγονον σκότος διώξας τῆς ἀβύσσου, καὶ δώρησαί μοι τὸ φῶς τῶν προσταγμάτων σου Λόγε, ἵνα ὀρθρίζων δοξάζω σε.

Οἰκήσας ἐν γαστρί σου, ὁ οἰκῶν ἐν ὑψίστοις σὲ ἀπειργάσατο, Οὐρανῶν πλατυτέραν, Μαρία Θεοτόκε· ὃν ὑπὲρ πάντων ἡμῶν ὡς ἀγαθή, μὴ ἐλλείπῃς πρεσβεύειν Θεόνυμφε.



Ὁ Κόλπους τοὺς πατρῴους μὴ κενώσας ἐν τῷ σαρκοῦσθαι πανάμωμε, σοῦ ἐν τοῖς κόλποις ὁρᾶται, κρατούμενος ὡς βρέφος, ὃν ἐξιλέωσαι, τοῖς εὐσεβῶς σε τιμῶσι Παρθένε Θεόνυμφε.

Ἀμήτορα τῶν ἄνω, ἐπ' ἐσχάτων τοῖς κάτω, τίκτεις ἀπάτορα, οὐσιωθέντα Παρθένε, τὸ ἡμέτερον ὅλον, δι' εὐσπλαγχνίαν πολλήν, ὃν ἐκδυσώπει σωθῆναι, φθορᾶς τοὺς ὑμνοῦντάς σε.

Ἁγία Θεοτόκε, ἡ τὸν ἅγιον Λόγον ἀποτεκοῦσα σαρκί, ἀναπαυόμενον μόνον ἐν πᾶσι τοῖς ἁγίοις, ἁγίασόν μου τὸν νοῦν, ταῖς πονηραῖς ἐργασίαις, ἀεὶ ἐπιμένοντα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὑπέμεινας ἀνδρείως, τῆς σαρκὸς τὰς αἰκίσεις ἀοίδιμε, ἐν τῷ δεινῶς τραυματοῦσθαι, τὴν πλάνην τραυματίζων, καὶ καταράσσων ἐχθρούς, τῇ πρὸς Θεὸν ἀνυψώσει, ποιμὴν ἀξιάγαστε.

Σταυρῷ τὸν προσπαγέντα, ἐν τῷ πάθει σου εἰκονίζων μακάριε, τὰς τῆς σαρκὸς ἀλγηδόνας, ὑπέφερες γενναίως. καὶ νικητὴς γεγονώς, συνηριθμήθης ἀξίως, μαρτύρων στρατεύμασιν.

Δόξα.

Ἐνθέῳ πεποιθήσει, προσευχῶν σου μάστιξι, θῆρα Πάτερ συνώθησας, ἀποβαλέσθαι τὴν θήραν, ἣν ἀδίκως συνέσχε, πιστοῦ γενναίου πληρῶν, συμπαθεστάτῃ καρδίᾳ, τὴν αἴτησιν Βλάσιε.

Καὶ νῦν, Θεοτοκίον.

Ὑμνοῦμέν σε Μαρία, τὴν θεώσασαν τῶν ἀνθρώπων τὸ φύραμα, τῇ ὑπὲρ νοῦν σου λοχείᾳ, καὶ ἀναπλάσασαν καταφθαρέντας ἡμᾶς, καὶ συντριβέντας ἀπάτῃ τοῦ ὄφεως πάναγνε.

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε σωτηρίαν βραβεύουσα.

Ὠδή, στ'. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὡς ἔμψυχος Κιβωτός, ἐδέξω Λόγον τὸν ἄναρχον, ὡς ἅγιον ἱερόν, τὸν κτίστην ἐχώρησας, ὡς θρόνος πυρίμορφος, φέρεις τὸν Δεσπότην, Θεομῆτορ πάσης κτίσεως.

Συνείληφας ἀληθῶς, τὸν θεῖον Λόγον ἐν μήτρᾳ σου, καὶ τοῦτον ὑπερφυῶς, πανάμωμε τέτοκας· ὃν λιταῖς ἱλέωσαι, τῶν κινδύνων πάντας, ἐκλυτρώσασθαι τοὺς δούλους σου.

Φωνήν σοι τοῦ Γαβριήλ, τὸ χαῖρε πίστει κραυγάζομεν, ἐξ ἧς ἀφράστως ἡμῖν, ὁ ζωαρχικώτατος, ἀνὴρ ἐχρημάτισε, καὶ συνανεστράφη, τοῖς ἀνθρώποις ὁ φιλάνθρωπος.

Λαμψάτω νῦν ἐπ' ἐμέ, ἡ ἄρατος εὐσπλαγχνία σου, βυθοῦ με ἁμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Συνήθλησέ σοι χορός, σεπτῶν γενναίων ἀοίδιμε· ῥωσθεῖσαι γὰρ τοῦ Σταυροῦ, δυνάμει συνέτριψαν, ἐχθροῦ πολυμήχανον, κεφαλὴν καὶ νίκης, ἀνεπλέξαντο διάδημα.

Ἐρρώσθη τὸ ἀσθενές, Θεοῦ δυνάμει καὶ χάριτι· ἰδοὺ γὰρ νεανικῶς, γυναῖκες ἠρίστευσαν, τὸν ὄφιν πατήσασαι, τὸν ποτὲ τὴν Εὔαν, παραδείσου ἐξοικίσαντα.

Δόξα.

Βυθίσασαι πονηρῶν, δαιμόνων ἄψυχα ξόανα, ἐπουρανίου ναοῦ, κειμήλια ἔμψυχα, ἑαυτὰς προσήξατε, καὶ τῶν πρωτοτόκων, Ἐκκλησίαν ἐφαιδρύνατε.

Καὶ νῦν, Θεοτοκίον.

Ὁ Θρόνος ὁ τοῦ Θεοῦ, τῶν Χερουβὶμ ὁ ὑπέρτερος, Νεφέλη ἡ τοῦ φωτός, ψυχῆς μου τὰ ὄμματα, Παναγία φώτισον, καὶ παθῶν ἀχλύος, τὴν καρδίαν μου καθάρισον.

Καταβασία.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος· δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.



Κοντάκιον. Ἦχος, β'. Τὰ ἄνω ζητῶν.

Ὁ Θεῖος βλαστός, τὸ ἄνθος τὸ ἀμάραντον, ἀμπέλου Χριστοῦ, τὸ κλῆμα τὸ πολύφορον, Θεοφόρε Βλάσιε, τοὺς ἐν πίστει τελοῦντας τὴν μνήμην σου, εὐφροσύνης τῆς σῆς πλήρωσον, πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ῥώμη Θεοῦ χρηματισθεὶς ὦ θεόφρον, ὡς ἱερὸς Ἱεράρχης, καὶ λειτουργὸς αὐτοῦ ἐν πράξεσι θείαις ἀναδέδειξαι· τῶν ἀθλοφόρων ἐν ταῖς χορείαις ὡράθης, καὶ στεφανίτης· τῆς Ἀαρὼν ὑπερήρθης θυσίας, ὡς μύστης Χριστοῦ· σὺν Ἄβελ αἷμα τὸ θεῖον ἀνακράζει Θεῷ τὴν σφαγήν σου· καὶ θρόνῳ θείῳ τοῦ κτίσαντος παρεστὼς σὺν Ἀγγέλων τοῖς τάγμασι πρεσβεύεις ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

## Μηνί, ΙΑ'. Φεβρουαρίου.

## Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος

## ΒΛΑΣΙΟΥ

## Ἀρχιεπισκόπου Σεβαστείας τοῦ θαυματουργοῦ.

Στιχ. Λαιμὸν Βλάσιος ἐκκοπεὶς διὰ ξίφους.
Ἀλγοῦσι λαιμοῖς ῥευμάτων ἤργει βλάβας.
Ἑνδεκάτῃ Βλασίου τάμεν αὐχένα χαλκὸς ἀτηρής.

Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, διδάσκει ὁ ἡμέτερος Ἰησοῦς εἰς τὸ ἱερὸν αὐτοῦ Εὐαγγέλιον. (Μάρκ. Κεφ. η.) Ταύτην τὴν θεϊκήν, καὶ ψυχοσωτήριον διδασκαλίαν οἱ παλαιοὶ ἐκεῖνοι θεοφιλεῖς ἄνδρες ἐνωτισθέντες, καὶ ταύτης ἐλθόντες εἰς κατανόησιν, μετὰ χαρᾶς, καὶ προθύμως ὑποδέχθησαν, καὶ εἰς τὸ πλάτος τῶν καρδιῶν αὐτῶν ἀνεξάλειπτον αὐτὴν ἐχάραξαν. Διὰ τοῦτο ἠρνήθησαν τελείως ἑαυτούς, ἦραν ἐπὶ τῶν ὤμων τὸν σταυρόν, καὶ ἠκολούθησαν τὸν θεῖον Διδάσκαλον καὶ Σωτῆρα, γενόμενοι τούτου μιμηταὶ ἀκριβέστατοι· ἄλλοι μὲν μὲ τοῦ κόσμου, καὶ τῶν ἐκείνου τερπνῶν καὶ ἡδέων τὴν τελείαν ἀποστροφήν, καὶ μὲ τὴν κατάθλιψιν, καὶ ταλαιπωρίαν, ἣν διὰ τῆς ἐπιπόνου ἀσκήσεως, καὶ ἄκρας σκληραγωγίας ἐτέλεσαν εἰς τὴν σάρκα, ὑπὲρ φύσιν ἀγωνισάμενοι· ἄλλοι δὲ μὲ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τοὺς ἀθλητικοὺς ἀγῶνας, εἰς τοὺς ὁποίους μετὰ ζεούσης καρδίας ὑπὸ θείου ἔρωτος φλεγομένης ὑπέβαλον ἑαυτοὺς εἰς πολυτρόπους βασάνους καὶ κολαστήρια, καὶ πολυειδεῖς πικροτάτους θανάτους καθυπομείναντες, διὰ τῶν ὁποίων προσεφέρθησαν εἰς τὸν Δεσπότην ἐθελόθυτα, καὶ ἀμώμητα θύματα. Ἕτεροι πάλιν, καὶ μὲ τὴν πολύπονον γυμνασίαν εἰς τὰς ἀσκητικὰς παλαίστρας, καὶ μὲ τὴν ἔκχυσιν ὁμοῦ τῶν ἰδίων αἱμάτων εἰς τὸ μαρτυρικὸν στάδιον τούτῳ εὐαρεστήσαντες, διὸ καὶ ἀπέλαβον παρ' αὐτοῦ εἰς ἀντιμισθίαν τῆς δικαιοσύνης τὸν στέφανον, τῆς μακαριότητος καὶ ἀθανασίας ἀξιωθέντες, καὶ εἰς τὰς οὐρανίας κατοικίας ἐναυλιζόμενοι, καὶ ἀναπαυόμενοι, οἷος ἐστάθη καὶ ὁ σήμερον παρ' ἡμῶν ἑορταζόμενος ἅγιος, ὁ ἱερώτατος λέγω Βλάσιος, ὁ τῆς ἀσκήσεως θεῖος βλαστός, καὶ τῆς ἐγκρατείας ἄνθος ὄντως εὐῶδες καὶ πανευφρόσυνον, ἡ τῶν Ἀρχιερέων στάθμη καὶ ὑποτύπωσις, καὶ τῶν ἀθλητῶν ἡ καλλονὴ καὶ ἡ δόξα, ὁ ὁποῖος κατὰ τὴν αὐτὴν τοῦ Δεσπότου σωτηριώδη συμβουλὴν καὶ παραίνεσιν, ἠρνήθη ἑαυτόν, ἦρεν εἰς τοὺς ὤμους τὸν σταυρόν, καὶ τῷ Δεσπότῃ Χριστῷ προθύμως ἀκολουθήσας, ἀσκητικῶς καὶ καρτερικῶς αὐτῷ εὐηρέστησεν. Τούτου τὸν ἐνάρετον βίον, τὴν θεάρεστον πολιτείαν, καὶ τὰ λαμπρὰ καὶ θαυμαστὰ κατορθώματα, ἅτινα εἶναι πρόξενα, ὄχι μόνον ἡδονῆς καὶ τερπνότητος, ἀλλὰ καὶ πολλῆς ὠφελείας εἰς τοὺς ἀκούοντας, ἄρχομαι νὰ διηγηθῶ εἰς τὴν ὑμετέραν ἀγάπην, καὶ παρακαλῶ ἀκούσατε μετὰ προσοχῆς τὴν διήγησιν.

Οὗτος ὁ ὄντως ἄνθρωπος τοῦ Θεοῦ, καὶ τῶν ἐκείνου θείων ἐντολῶν πρόθυμος ἐργάτης, καὶ πληρωτὴς ἀκριβέστατος, ἔζη κατὰ τὸν καιρὸν τῆς αὐτοκρατορίας εἰς τὴν Ἀνατολὴν τοῦ δυσσεβεστάτου τυράννου καὶ ἀπανθρωποτάτου διώκτου τῶν Χριστιανῶν Λικινίου, καὶ τῆς ἡγεμονίας Ἀγρικολάου τοῦ θεοργίστου εἰς τὴν Ἐπαρχίαν τῆς Ἀνατολῆς, ὀνομαζομένην πόντος Καππαδοκικός, καὶ ἔχουσαν πόλεις τὴν Κερασοῦντα, τὴν Τραπεζοῦντα, τὴν Νεοκαισάρειαν, τὴν Σεβαστείαν, καὶ ἄλλας. Οὗτος ἔχων ἀφιερωμένον ὅλον του τὸν πόθον εἰς τὴν δούλευσιν τοῦ Δεσπότου καὶ Σωτῆρος Θεοῦ, διῆγε βίον θαυμάσιον, καὶ ἀξιέπαινον πολιτείαν, ἐπιμελῶς καὶ ἀόκνως τὰ θεῖα προστάγματα, καὶ ὅλας τὰς ἀρετὰς ἐργαζόμενος, καὶ ἦτο τῇ ἀληθείᾳ, κατὰ τὸν θεομαρτύρητον ἐκεῖνον μέγαν Ἰώβ, ἄκακος, ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐπειδὴ δὲ τὸ καλὸν καὶ ἡ



ἀρετή, προσελκύουσι τὸν ἔπαινον, τὴν τιμήν, καὶ τὴν δόξαν, τοιουτοτρόπως παρ' ὅλων καὶ αὐτὸς εὐφημίζετο, ἐτιμᾶτο καὶ ἐδοξάζετο, ὥστε διὰ κοινῆς ψήφου ἐψηφίσθη τῆς Σεβαστείας Ἀρχιεπίσκοπος, ὅστις ὡς καλὸς ποιμὴν καὶ οὐ μισθωτός, εὐσεβῶς καὶ θεαρέστως ἐποίμανε τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, ἀγρυπνῶν καὶ ἐπιμελέστατα προνοούμενος διὰ τῶν λογικῶν αὐτοῦ προβάτων τὴν σωτηρίαν, καὶ διὰ τῆς Διδασκαλίας τῶν λόγων του, καὶ διὰ τοῦ ὑποδείγματος τῆς διαγωγῆς του ἐπιστηρίζων μὲν τοὺς πιστοὺς εἰς τὴν Ὀρθοδοξίαν, ἐπιστρέφων δὲ τοὺς ἀπίστους εἰς τὴν θεογνωσίαν καὶ θεοσέβειαν. Ἀλλ' ἐπειδὴ καὶ ὁ κατὰ τῶν Χριστιανῶν διωγμὸς ἐκινήθη καὶ ἥναψεν ἀπὸ τοῦ ἀπηνεστάτου ἐχθροῦ καὶ διώκτου Λικινίου εἰς τὰ ὅρια καὶ μέρη, ἅτινα αὐτὸς ὁ ἀλιτήριος ὥριζε, καὶ δόγμα ἐστάλη θεοστυγὲς εἰς τοὺς ὑπ' αὐτὸν Ἡγεμόνας καὶ ὑπηκόους, προστάζον νὰ κατατρέχωνται, καὶ νὰ διώκωνται ἀπὸ τῶν Ἐπαρχιῶν των, καὶ Ἐπισκοπῶν, οἱ τοῦ Χριστοῦ Ἀρχιερεῖς καὶ Ἐπίσκοποι· καὶ αἱ Ἐκκλησίαι ἄλλαι νὰ κατεδαφίζωνται, καὶ ἄλλαι νὰ κλείωνται, διὰ νὰ μὴ εἰσέρχωνται οἱ πιστοὶ νὰ ἀποδίδωσι τῷ Θεῷ τὰς εὐχὰς καὶ λατρείας, καὶ οἱ χριστιανοὶ ποικιλοτρόπως, καὶ χωρὶς εὐσπλαγχνίας νὰ τιμωρῶνται, ἔφθασε καὶ εἰς τὸν Ἀγρικόλαον τὸν Ἡγεμόνα τῆς Σεβαστείας τὸ αὐτὸ δυσσεβὲς καὶ παράνομον δόγμα. Ὅστις κατὰ τὸ ὄνομα ἔχων καὶ τὴν γνώμην ἀγρίαν καὶ θηριώδη, ἔβαλεν εἰς τὸν νοῦν του νὰ φανῇ πρὸς τοὺς χριστιανοὺς φοβερώτερος τῶν ἄλλων Ἡγεμόνων τῆς Ἀνατολῆς, διὰ νὰ ἀρέσῃ τῷ Βασιλεῖ, καὶ νὰ μεγαλύνῃ τὸ ὄνομά του. Ὁ γοῦν ἱερώτατος Βλάσιος ταῦτα μαθών, ἀγαπῶν μάλιστα τὴν ἡσυχίαν, καὶ νὰ σχολάζῃ τῷ Θεῷ κατὰ μόνας, ἔφυγεν εἰς ἓν ὄρος λεγόμενον Ἄργος, καὶ ἐγκλεισθεὶς εἰς ἓν σπήλαιον, προσέφερεν ἐκεῖ τῷ Θεῷ καθαρὰς καὶ ἀθορύβους τὰς προσευχάς, ἀναμένων τὸν καιρὸν ἕως οὗ γνωρίσῃ ὅτι εἶναι τὸ θέλημα τοῦ Θεοῦ νὰ παῤῥησιασθῇ, τὸν ὁποῖον ἠγάπων καὶ ηὐλαβοῦντο ὄχι μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ αὐτὰ τὰ ἄγρια θηρία, καὶ τόσον, ὥστε ἐρχόμενα, πρὸς αὐτὸν ἵσταντο ἔμπροσθέν του μετ' ἄκρας ἡμερότητος, καὶ εὐλαβείας, καὶ δὲν ἤθελον ἐκεῖθεν νὰ ἀναχωρήσωσιν ἕως οὗ ἤθελε βάλῃ τὴν χεῖρά του ἐπάνω αὐτῶν καὶ εὐλογήσῃ αὐτά. Κατ' ἐκεῖνον γοῦν τὸν καιρὸν ἔστειλεν ὁ Ἡγεμὼν Ἀγρικόλαος κυνηγοὺς εἰς τὸ ὄρος διὰ νὰ κυνηγήσωσιν ἄγρια ζῶα· ἐρχόμενοι δὲ καὶ κατὰ τὸ σπήλαιον, καὶ βλέποντες συνηθροισμένον τόσον πλῆθος πολὺ ζώων, ἐθαύμαζον καὶ

ἠπόρουν. Καὶ πλησιάζοντες, εἶδον ἐκεῖ καὶ τὸν ἅγιον προσευχόμενον. Ταῦτα ἰδόντες ἐκεῖνοι ἀνεχώρησαν δρομαίως ἀπὸ τοῦ ὄρους, καὶ ἐπιστρέψαντες εἰς τὴν πόλιν, ἀνήγγειλαν ἅπαντα εἰς τὸν Ἡγεμόνα· ὁ δὲ Ἡγεμὼν ταῦτα ἀκούσας παρ᾽αὐτῶν, εὐθὺς ἔστειλεν ὀπίσω καὶ μεθ᾽ἑτέρων στρατιωτῶν, παραγγέλων αὐτοῖς νὰ πιάσωσι τὸν Ἅγιον, καὶ ὅσους ἄλλους εὕρωσι χριστιανούς. Φθάσαντες λοιπὸν οἱ ἀπεσταλμένοι, εὗρον τὸν Ἅγιον πάλιν ἐκεῖ προσευχόμενον, καὶ εἶπον αὐτῷ. Ἔξελθε, ὁ Ἡγεμὼν σὲ καλεῖ. Τούτους ἰδὼν ὁ ἱερώτατος Βλάσιος δὲν ἐταράχθη, δὲν ἐδειλίασεν, οὔτε ποσῶς ἐλυπήθη· μάλιστα ἐχάρη καταπολλά, καὶ τοῖς εἶπεν ἥμερα καὶ ἠπίως, ἔλθετε τέκνα ἂς ὑπάγωμεν ὁμοῦ, διότι σήμερον ἐνεθυμήθη ἐμὲ ὁ Θεός, καθὼς τὴν νύκτα ταύτην μοὶ ἀπεκάλυψεν αὐτό. Μεταβαίνοντες λοιπὸν εἰς τὸν δρόμον, πολλοὶ Ἕλληνες θεωροῦντες τὴν τόσην πρᾳότητα τοῦ Ἁγίου ἐπέστρεφον εἰς θεογνωσίαν, βοηθούμενοι εἰς τοῦτο καὶ ἐκ τῶν ἁγίων αὐτοῦ εὐχῶν. Ἰατρεύοντο δὲ ὄχι μόνον ἄνθρωποι ἀπὸ πολυποικίλων παθῶν, ἀλλὰ καὶ ζῶα διάφορα θαυμασίως.

Τινὸς γυναικὸς χήρας καὶ πτωχῆς, ἥρπασεν ὁ λύκος ἕνα χοῖρον, ὃν εἶχε μόνον ἡ δυστυχὴς διὰ πλοῦτον αὐτῆς, ἡ δὲ ἔδραμεν εἰς τὸν Ἅγιον ἐκεῖ εἰς τὸν δρόμον εἰς ὃν εὑρίσκετο, καὶ πικρῶς ἔκλαιε τὴν ἑαυτῆς ἀπροσδόκητον συμφοράν, ὁ δὲ Ἅγιος ὑπομειδιάσας εἶπε· μὴ λυπεῖσαι ὦ γύναι, καὶ τώρα εἰς ὀλίγον ὁ ἴδιος λύκος θέλει σοὶ φέρει αὐτὸν ὀπίσω ὑγιῆ καὶ ἀβλαβῆ, καὶ τῇ ἀληθείᾳ ὁ λύκος εὐθὺς ἔχασε τὸ φυσικὸν ἰδίωμα, καὶ ἐγύρισε τὸν χοῖρον ὀπίσω, καὶ ἔδωσεν αὐτὸν τῇ γυναικὶ σῶον, καὶ χωρὶς τινὸς βλάβης. Φθάσαντος λοιπὸν τοῦ Ἁγίου μετὰ τῶν στρατιωτῶν εἰς τὴν Σεβαστείαν, ὁ Ἡγεμὼν προσέταξε νὰ τὸν φυλακώσωσι, καὶ εὐθὺς ἐτελέσθη τὸ πρόσταγμα αὐτοῦ· τὴν ἐπομένην δὲ ἡμέραν καθήσας ἐπὶ τοῦ βήματος, διέταξε νὰ φέρωσιν εἰς αὐτὸν τὸν Ἅγιον ἐκεῖ, καὶ τὸν παρέστησαν ἔμπροσθέν του· ὁ ὁποῖος σχηματιζόμενος πρὸς ἡμερότητα, ἤρχησε νὰ τῷ ὁμιλῇ μετὰ γλυκολογίας, λέγων αὐτῷ. Χαίροις Βλάσιε φίλε τῶν Θεῶν· καὶ ὁ μάρτυς μετὰ παῤῥησίας καὶ χωρὶς φόβου τῷ ἀπεκρίθη, χαίροις καὶ σὺ κράτιστε Ἡγεμών, πλὴν μὴ τοὺς ὀνομάζεις θεούς· διότι εἶναι πονηροὶ δαίμονες, καὶ ὅσοι τοὺς τιμῶσι θέλει φλογίζωνται μετ᾽αὐτῶν ὁμοῦ εἰς τὸ αἰώνιον πῦρ τῆς κολάσεως. Εἰς ταῦτα πολλὰ ἐθυμώθη ὁ δικαστής, καὶ προσέταξε νὰ δέρνωσι διὰ ῥάβδων τὸν Ἅγιον σφοδρῶς, ὁ δὲ Ἅγιος οὕτω τυπτό-



μενος εἶπε· Μὴ νομίζῃς ἀναίσθητε, πῶς ἀνθρώπιναι τιμωρίαι καὶ δυνάμεις, δύνανται νὰ νικήσωσι τὴν ἀγάπην καὶ δύναμιν τοῦ Χριστοῦ, ὁ ὁποῖος παραδόξως μοὶ ἐλαφρύνει τοὺς πόνους; Ταῦτα εἰπὼν ὁ Ἅγιος, ἐῤῥίφθη πάλιν εἰς τὴν φυλακήν. Μαθοῦσα δὲ ἡ εὐσεβὴς ἐκείνη καὶ πτωχὴ χήρα τοὺς ἀγῶνας τοῦ Ἁγίου, καὶ θέλουσα νὰ δείξῃ εὐχαριστίαν εἰς τὸν Ἅγιον, καὶ νὰ τιμήσῃ αὐτόν, ἔσφαξε τὸν χοῖρον, ὃν διὰ προσταγῆς τοῦ Ἁγίου τῇ ἔφερεν ὁ λύκος ὀπίσω, καὶ ἐψήσασα τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ λαμβάνουσα ὄσπρια καὶ ὀπωρικά, καὶ ἀνάψασα καὶ λαμπάδας, ἦλθεν εἰς τὴν φυλακὴν χωρὶς νὰ λάβῃ φόβον τῶν φυλάκων· καὶ προσπεσοῦσα εἰς τοὺς πόδας τοῦ Ἁγίου, ἐδέετο νὰ μεταλάβῃ καὶ φάγῃ ἐξ ἐκείνων τῶν φαγητῶν, ἅπερ τῷ προσέφερεν, ὁ δὲ Ἅγιος καὶ εἰσήκουσεν αὐτήν, καὶ μετέσχε καὶ ηὐλόγησε διὰ τὴν ἀγαθὴν αὐτῆς προαίρεσιν, καὶ τῇ εἶπεν. Οὕτως ἑόρταζέ με κάθε χρόνον ὦ γύναι, καὶ ἐλπίζω εἰς τὸν Θεόν, ὅτι δὲν θέλει λείψει ἡ ἀγαθωσύνη αὐτοῦ ἀπὸ τοῦ οἴκου σου, καὶ ὅποιος ἄλλος σὲ μιμηθῇ, θέλει λάβῃ καὶ ἐκεῖνος μεγάλην εὐλογίαν πάντοτε ἐκ Θεοῦ. Ἡ μὲν οὖν μακαρία ἐκείνη χήρα, λαβοῦσα ταύτην τὴν καλὴν ἐντολήν, ὑπέστρεψεν εἰς τὸν οἶκόν της· ὁ δὲ Ἡγεμὼν ἔκαμε καὶ ἔφερον πάλιν τὸν Μάρτυρα εἰς τὸ κριτήριον, καὶ τῷ εἶπε· θυσιάζεις Βλάσιε τοῖς θεοῖς, ἢ θέλεις νὰ θανατωθῇς ἀπηνέστατα; ὁ Μάρτυς ἀφόβως καὶ θαρσαλέως τῷ ἀπεκρίθη· ὅποιος ἔχει γνῶσιν καὶ λογικόν, δὲν θυσιάζει εἰς ἀναισθήτους Θεούς, οἵτινες εἰσὶν ἔργα χειρῶν ἀνθρώπων. Ταῦτα λέγοντος τοῦ Μάρτυρος, προσέταξεν ὁ Ἡγεμὼν καὶ ἐκρέμασαν αὐτὸν εὐθὺς εἰς τὸ ξύλον, καὶ ἐξέσχιζαν τὰς πλευράς του· ὅμως καὶ οὕτω βασανιζόμενος, οὐδαμῶς ἐδειλίασεν, ἀλλ᾽ ἔλεγε μετὰ παῤῥησίας μεγάλης. Ἐγὼ δὲν φοβοῦμαι ὦ τύραννε, οὔτε ψηφῶ παντάπασι τὰς κολάσεις σου, ἀποβλέπων εἰς τὰς αἰωνίους ἀνταποδόσεις. Ἀφ᾽ οὗ δὲ κατεβίβασαν ἀπὸ τοῦ ξύλου, πάλιν τὸν ἔστειλεν εἰς τὴν φυλακήν, καὶ εἰς τὸν δρόμον ἠκολούθησαν αὐτῷ ἑπτὰ γυναῖκες εὐσεβεῖς καὶ ἐνάρετοι, αἱ ὁποῖαι ἐδέχοντο ὡς μῦρα εὐωδέστατα καὶ πολύτιμα τὰ αἵματα, τὰ ὁποῖα ἔτρεχον ἐκ τῶν πληγῶν αὐτοῦ καὶ ἐχρίοντο, μετ᾽ εὐλαβείας· διὰ τοῦτο ἔλαβον καὶ τὴν ἀντιμισθίαν τῆς πίστεως αὐτῶν, ἀξιωθεῖσαι νὰ δεχθῶσι τῆς μαρτυρίας τὸν στέφανον· διότι εὐθὺς συνελήφθησαν ὡς χριστιαναί, καὶ ἤχθησαν εἰς τὸν Ἡγεμόνα, ὁ ὁποῖος προσέταξεν αὐτὰς νὰ θυσιάσωσιν, ἐκεῖναι δὲ ἐτεχνεύθησαν τέχνην καὶ μηχανὴν σοφω-

τάτην, διότι εἶπον τῷ Ἡγεμόνι· ἂν θέλῃς, ὦ δικαστά, νὰ θυσιάσωμεν καθὼς προστάττεις ἡμᾶς, πρᾶξον ὅ,τι σοὶ λέγομεν, βάλε τοὺς Θεούς σου ἐντὸς σάκκου καὶ σφράγισον αὐτούς, ἔπειτα ἄφες ἡμᾶς νὰ ὑπάγωμεν εἰς τὴν λίμνην, ἥτις εἶναι πλησίον, καὶ ἀφ᾽ οὗ νιφθῶμεν ἐκεῖ καὶ καθαρισθῶμεν, τότε καθαρῶς νὰ προσκυνήσωμεν αὐτούς. Ἐπείσθη ὁ Ἡγεμὼν εἰς τοὺς λόγους αὐτῶν, καὶ ἔκαμεν ὡς τῷ εἶπον. Φθάσασαι λοιπὸν εἰς τὴν λίμνην, ἔῤῥιψαν εἰς τὸ βάθος, καὶ ἠφάνισαν αὐτούς, λέγουσαι· οὕτω πρέπει ὑμῖν ὦ μιαρώτατοι, ἐπειδὴ καὶ σεῖς ἐγένεσθε αἰτία πολλῶν νὰ πέσωσιν εἰς τὸν βυθὸν τῆς ἀπωλείας οἱ δυστυχεῖς καὶ ταλαίπωροι. Τοῦτο μαθὼν ὁ Ἡγεμὼν ἐθυμώθη καὶ ἔγινεν ὡς θηρίον ἀνήμερον· ὅθεν προσέταξε καὶ ἔφερον ἔμπροσθεν αὐτοῦ τὰς γυναῖκας, καὶ λέγει αὐταῖς· ὦ τολμηρότατα γύναια, πῶς ἐτολμήσατε καὶ ἐκάματε δόλον εἰς τοὺς Θεούς; ἐκεῖναι εἶπον· ὦ ἀνόητε δικαστά, ὁ ἀληθινὸς Θεὸς δὲν φοβεῖται δόλους. ὁ Ἡγεμὼν λοιπὸν προσέταξε καὶ ἥναψαν κάμινον, καὶ ἀνέλυσαν μόλυβδον, καὶ ἔφερον ὄνυχας σιδηροῦς, καὶ ἐκ τοῦ ἄλλου μέρους ἔφερον φορέματα λαμπρὰ καὶ πολυτελῆ, καὶ ἔλεγεν εἰς αὐτάς· ἐκλέξατε ἓν ἐκ τῶν δύο, ἢ νὰ θυσιάσητε διὰ νὰ τιμηθῆτε, ἢ νὰ ῥιφθῆτε εἰς τὴν Κάμινον νὰ ἀναλωθῆτε ἀπὸ τοῦ πυρὸς τῆς καμίνου. Μία δὲ αὐτῶν μήτηρ δύο τέκνων, ἁρπάσασα τὸ λαμπρὸν φόρεμα, ἔῤῥιψεν εἰς τὴν κάμινον καὶ κατέκαυσεν αὐτό. Τὰ δὲ δύο αὐτῆς τέκνα ἔλεγον εἰς αὐτήν, μὴ μᾶς ἀφήσῃς νὰ χαθῶμεν εἰς τὴν γῆν ταύτην, ὦ Μῆτερ, ἀλλὰ καθὼς γάλα μητρικὸν ἡμᾶς ἐχόρταινες, οὕτω πλούτισον ἡμᾶς καὶ τῆς Οὐρανίου Βασιλείας. Τότε ὁ Ἡγεμὼν προσέταξε καὶ ἐκρέμασαν αὐτάς, καὶ μὲ χειράγρας σιδηρᾶς τὰς ἐξέσχιζαν, ἀπὸ δὲ τῶν πληγῶν αὐτῶν ἔτρεχεν ἀντὶ αἵματος γάλα καὶ ἐφαίνοντο εἰς τοὺς παρεστῶτας ὡς ἡ χιὼν λαμπραὶ αἱ τρισόλβιαι· διότι Ἄγγελοι κατελθόντες ἀπὸ τοὺς Οὐρανούς, ἰάτρευον παραδόξως τὰ μέλη αὐτῶν, καὶ ἔλεγον· μὴ φοβεῖσθε φιλόθεοι, διότι ὁ καλὸς ἐργάτης δὲν πρέπει νὰ ἀρχίσῃ μόνον, ἀλλὰ καὶ νὰ τελειώσῃ τὸ ἔργον του, διὰ νὰ λάβῃ καὶ τέλειον τοῦ κόπου μισθόν. Οὕτω πρέπει καὶ σεῖς νὰ τελειώσητε καλῶς τὸν ἀγῶνα ὑμῶν, καὶ νὰ ἐπιτύχητε παρὰ τοῦ Θεοῦ τὸ βραβεῖον τῆς αἰωνίου ζωῆς καὶ μακαριότητος. Τότε λοιπὸν ὁ Ἡγεμὼν διέταξε καὶ κατεβίβασαν ἀπὸ τοῦ Ξύλου ὑφ᾽ οὗ ἐκρέμαντο, καὶ προσέταξε καὶ ἔῤῥιψαν αὐτὰς εἰς τὴν κάμινον, ὅπου ἠκολούθησε θαῦμα παράδοξον, ὅμοιον πρὸς ἐκεῖνο τῶν τριῶν



παίδων, τῶν βληθέντων εἰς τὴν κάμινον τῶν Χαλδαίων· διότι ἡ φλὸξ ἐσβέσθη, καὶ ἐξῆλθον αὗται ἀπὸ τῆς καμίνου ἀβλαβεῖς. Ἡ δὲ πονηρὰ τοῦ Ἡγεμόνος ψυχή, ἔλεγεν ὅτι τὸ πρᾶγμα εἶναι μαγεία, καὶ προσέταττε πάλιν νὰ θυσιάσωσιν, ἀλλ᾽ἐκεῖναι τῷ εἶπον· μὴ πλανᾶσαι ἄθλιε καὶ ταλαίπωρε, διότι ἡμεῖς ἀπὸ τοῦ νῦν εἰσήλθομεν εἰς τὴν Οὐράνιον βασιλείαν. Θυμωθεὶς οὖν μεγάλως ὁ Ἡγεμὼν διὰ τὸ στεῤῥὸν τοῦ σκοποῦ των καὶ ἀμετάτρεπτον, ἔδωκε κατ᾽ αὐτῶν τὴν τελευταίαν ἀπόφασιν νὰ κόψωσι τὰς ἁγίας αὐτῶν κεφαλάς, ὑπάγουσαι λοιπὸν ἔχαιρον καὶ ἠγαλλιῶντο. Καὶ ὅταν ἔφθασαν εἰς τὸν τόπον τῆς καταδίκης, ὕψωσαν πρὸς Οὐρανὸν τὰς χεῖρας καὶ ὄμματα λέγουσαι. Κύριε καὶ Θεὲ Βασιλεῦ τῶν Βασιλευόντων, Εὐχαριστοῦμέν σοι, ὅτι ἠξίωσας ἡμᾶς νὰ τελειώσωμεν καὶ καθαρῶς τὸν ἀγῶνα τοῦτον τῆς ὁμολογίας σου, καὶ δεόμεθά σου συναρίθμησον ἡμᾶς μὲ τὴν πρωτομάρτυρά σου Θέκλαν, διὰ τῶν ἱερῶν εὐχῶν τοῦ ἱερωτάτου Πατρὸς ἡμῶν Βλασίου, ὁ ὁποῖος ἐγένετο ἡμῖν ὁδηγὸς εἰς τὴν ἄθλησιν ταύτην, καὶ εἰς τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς· οὕτω προσευξάμεναι, ἦλθον καὶ τὰ δύο παιδία εἰς τὴν μητέρα αὐτῶν λέγοντα. Οἱ ὑμέτεροι στέφανοι ἰδοὺ ὅτι εἶναι τώρα ἡτοιμασμένοι παρὰ τοῦ ἐπουρανίου Βασιλέως· παραδώσατε λοιπὸν καὶ ἡμᾶς εἰς τὸν ἀθλητὴν τοῦ Χριστοῦ Βλάσιον· καὶ τοῦτο μὲν οὕτως ἐγένετο. Ὁ δὲ δήμιος βιαζόμενος ἔκοψε τὰς κεφαλὰς τῶν ἁγίων Γυναικῶν, καρπὸν ἀληθῶς τοῦ θείου Βλασίου, καὶ καύχημα τῆς ἡμετέρας πίστεως. Μετὰ ταῦτα διὰ προσταγῆς τοῦ Ἡγεμόνος, ἔφερον ἀπὸ τῆς φυλακῆς εἰς τὸ Κριτήριον καὶ τὸν θεῖον Βλάσιον, καὶ τῷ εἶπεν ὁ Ἡγεμών· θυσιάζεις Βλάσιε εἰς τοὺς Θεούς, ἢ ὄχι; ὁ δὲ Ἅγιος ἀπεκρίθη. Ποῖος ἔχων γνῶσιν ἤθελεν καταδεχθῇ νὰ προσκυνῇ τοιαῦτα βδελύγματα; ὁ Ἡγεμὼν εἶπεν· ἂν ἴσως καὶ σὲ ῥίψω εἰς τὴν λίμνην αὐτήν, δύναται ὁ Θεός σου νὰ σὲ φυλάξῃ; λέγει αὐτῷ ὁ Ἅγιος. Δοκίμασε, ὦ δικαστά, διὰ νὰ καταλάβῃς τὴν δύναμίν του. Τότε ὁ Ἡγεμὼν προσέταξε καὶ ἔῤῥιψαν αὐτὸν ἐντός· ὁ δὲ Ἅγιος ποιήσας τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ, ὢ τοῦ θαύματος, εὑρέθη καθήμενος ἀβλαβὴς ἐπὶ τῶν ὑδάτων, ὡς ἐπὶ ξηρᾶς, καὶ ἔλεγεν εἰς τοὺς παρεστῶτας Ἕλληνας· ἂν ἔχωσι καὶ οἱ ὑμέτεροι Θεοὶ δύναμίν τινα, εἰσέλθετε καὶ ὑμεῖς ἵνα ἴδωμεν. Ἀκούσαντες δὲ οἱ ἀνόητοι ἐκεῖνοι καὶ ὑπερήφανοι, ἐπήδησαν ἐντός, ἑξήκοντα ὀκτὼ ὄντες, καὶ εὐθὺς οἱ ἄθλιοι ἐβυθίσθησαν, καὶ ἐλεεινῶς ἐπνίγησαν εἰς τὰ ὕδατα.

τὸν δὲ Ἅγιον, Ἄγγελος Κυρίου καταβὰς Οὐρανόθεν, πολλὰ περιχαρῶς καὶ ἱλαρῶς τὸν ἐχαιρέτησε καὶ τῷ εἶπεν. Ἔξελθε, ὦ τοῦ Θεοῦ δοῦλε Βλάσιε, καὶ λάβε τὸν στέφανον, ὃν ὁ Δεσπότης Χριστὸς σοὶ ἡτοίμασεν. Ὁ γοῦν Μάρτυς ἐξῆλθε περιπατῶν ἐπὶ τῶν ὑδάτων, ὡς ἐπὶ γῆν στερεάν, καὶ ἔλαμπε τὸ πρόσωπόν του ὥσπερ ὁ ἥλιος. Ὁ δὲ Ἡγεμὼν πάλιν τῷ εἶπε, διατί Βλάσιε δὲν θυσιάζεις εἰς τοὺς Θεούς; καὶ ὁ Ἅγιος εἶπεν αὐτῷ· ἐγὼ εἰμὶ δοῦλος τοῦ Ἰησοῦ Χριστοῦ, καὶ δὲν προσκυνῶ πονηροὺς δαίμονας. Ἀπελπισθεὶς λοιπὸν ὁ Ἡγεμών, ἔγραψε κατ' αὐτοῦ τὴν ἀπόφασιν, λέγων οὕτως. Ἐπειδὴ καὶ ὁ Βλάσιος δὲν ἐπείσθη οὔτε εἰς ἐμέ, οὔτε εἰς τοῦ Βασιλέως τὴν προσταγὴν νὰ θυσιάσῃ εἰς τοὺς Θεούς, ἔπνιξε δὲ καὶ τοὺς ἑξήκοντα ὀκτὼ στρατιώτας, προστάζω νὰ ἀποκεφαλίσωσιν αὐτόν, ὁμοῦ μετὰ τῶν δύο παιδίων. Τότε ἀκούσας ὁ Ἅγιος τὴν ἀπόφασιν, ηὔξατο λέγων· Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπάκουσόν μου τοῦ δούλου σου, καὶ δὸς τὴν βοήθειάν σου εἰς ὅσους μὲ ἐπικαλεσθῶσιν ἢ εἰς ἀσθένειαν, ἢ εἰς πᾶσαν ἄλλην ἀνάγκην καὶ χρείαν, καὶ λύτρωσαι αὐτοὺς ἐξ ὅλων τῶν λυπηρῶν, εἰς δόξαν τοῦ παναγίου ὀνόματός σου. Ταῦτα ἐκείνου προσευξαμένου, ὁ Θεὸς ὑπήκουσε τῆς δεήσεώς του, καὶ ἠκούσθη φωνή, οὕτω λέγουσα· Θέλει πληρωθῶσιν ὅσα ἐζήτησας, ἠγαπημένε μου Βλάσιε. Μετὰ ταῦτα παρέλαβεν αὐτὸν ὁ δήμιος ἀπὸ τοῦ Κριτηρίου μετὰ τῶν δύο Βρεφῶν ὁμοῦ καὶ ἔκοψε τὰς ἱερὰς αὐτῶν κεφαλὰς ἐπάνω εἰς μίαν πέτραν, ἐντὸς τοῦ τείχους τῆς Σεβαστείας· καὶ αἱ μὲν ἅγιαι αὐτῶν ψυχαὶ ἀπῆλθον ὑπ' Ἀγγέλων δορυφορούμεναι εἰς τὰς αἰωνίους μονάς, εἰς τὴν ἀτελεύτητον εὐφροσύνην καὶ ἀγαλλίασιν, εἰς χεῖρας Θεοῦ ζῶντος· τὰ δὲ τίμια καὶ ἀθλητικὰ αὐτῶν λείψανα, εὐλαβεῖς τινες χριστιανοὶ ἐνεταφίασαν τότε ὡς ἠδυνήθησαν. Ὕστερον δὲ γυνή τις εὐλαβὴς καὶ φιλόθεος ἐπεμελήθη, καὶ εὐπρεπῶς ἐκόσμησε τὸν τάφον αὐτῶν. Μαθοῦσα δὲ καὶ ἡ θεοφιλὴς ἐκείνη χήρα καὶ γραῖα τὴν Μαρτυρικὴν τελείωσιν τοῦ Ἁγίου, δὲν ἐλησμόνησε τὴν παραγγελίαν του, ἀλλὰ κατ' ἔτος εὐλαβῶς αὐτὸν ἑώρταζε· τὴν ὁποίαν καὶ ἄλλοι πολλοὶ μιμηθέντες, ἑώρταζον τιμίως τὸν Ἅγιον, καὶ ὅλοι τὰς εὐλογίας, καὶ τὰς ἀντιδόσεις πλουσιοπαρόχως παρὰ Θεοῦ ἀπελάμβανον. Ἀλλὰ καὶ νῦν ὅσοι ἑορτάζουσιν αὐτόν, καὶ εἰς τὰς αὐτῶν περιστάσεις ἐπικαλεσθῶσιν, τὸν εὑρίσκουσιν ἕτοιμον βοηθὸν καὶ πληρωτὴν εἰς πᾶσαν αἴτησιν.



Οὗτος εἶναι ὁ βίος, καὶ ἡ πολιτεία τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου, χριστιανοὶ εὐσεβέστατοι. Ταῦτα εἶναι τὰ ἔνδοξα καὶ λαμπρὰ αὐτοῦ κατορθώματα· οὕτως ἠγωνίσθη, οὕτω διὰ Μαρτυρικοῦ θανάτου ἐτελειώθη διὰ τὴν ἀγάπην τοῦ Σωτῆρος Χριστοῦ ὁ ἀοίδιμος. Ἀλλὰ καὶ ὁ Χριστὸς οὕτω καὶ ζῶντα καὶ μετὰ θάνατον, μὲ τῆς θαυματουργίας τὸ χάρισμα ἐτίμησεν αὐτόν, καὶ μεγίστης δόξης εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν ἠξίωσε, καταστήσας αὐτὸν συγκληρονόμον τῆς ἀθανάτου ζωῆς, καὶ μέτοχον τῶν ἀρρήτων ἐκείνων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Γένοιτο δὲ καὶ ἡμᾶς αὐτῶν ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων, Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δύω παῖδες, οἱ συναθλήσαντες τῷ ἁγίῳ Βλασίῳ μετὰ τῶν ἑπτὰ γυναικῶν, Ξίφει τελειοῦνται.

Στίχ. Βαβαὶ τοσαύτης παιδίων εὐθαρσίας.
Σπεύδουσιν ἄμφω, ποῖον ἐκτμηθῇ φθάσαν.
Κτείνει Γυναῖκας ἑπτὰ σεπτὰς τὸ Ξίφος,
Οὐ τῇ γυναικῶν συσχεθείας δειλίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ζαχαρίου τοῦ προφήτου, τοῦ Πατρὸς τοῦ τιμίου Προδρόμου.

Στίχ. Φανεὶς ὁ νεκρὸς γῆθεν ὁ Ζαχαρίου.
Τοῖς ζῶσι πιστοῖς, ἄφθονον βλύζει χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη Θεοδώρας τῆς Βασιλίσσης, τῆς στερεωσάσης τὴν Ὀρθοδοξίαν.

Στίχ. Τὴν Θεοδώραν αὐγούσταν τιμῶ χαίρων.
Τὴν τιμήσασαν Χριστοῦ μου τὴν εἰκόνα.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς, Ἀμήν.

Ὠδή, ζ'. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλον βοῶντες. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἔστησας ῥύμην τοῦ θανάτου, τὸν ἀθάνατον Θεὸν ἀποτεκοῦσα· ὃν δυσώπει Ἁγνή, τὰ πάθη θανατῶσαι, τοῦ ταπεινοῦ μου σώματος, καὶ ζωῆς με ἀξιῶσαι.

Νῦν σοι προσφεύγω Θεομῆτορ, τῶν πταισμάτων ταῖς σειραῖς κατεσφιγμένος. διὰ σπλάγχνα ἐλέους, ῥῦσαί με βοῶντα. Εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Οἴκτειρον σῶσόν με Παρθένε, τὸ οἰκτίρμονα τεκοῦσα Θεὸν Λόγον, καὶ φωτὶ τῷ ἐν σοί, καταύγασον βοῶντα. Εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Χαίροις πανάμωμε Παρθένε, ὅτι ἔτεκες Θεὸν σαρκὶ τῷ κόσμῳ, τὸν ἐκ πλάνης Ἁγνή, λυτρούμενον τοὺς πίστει, σὲ Θεοτόκον Δέσποιναν, ἀληθῆ δοξολογοῦντας.

Τοῦ Ἁγίου ὁ αὐτός.

Τῶν Χαλδαίων ἡ κάμινος.

Φωτισμοῦ θείου ἔμπλεων, κτησάμενος καρδίαν, ἀπροσκόπτως παρέδραμες, προσκόμματα τῆς πλάνης, ἐχθρῶν διαβήματα, ὑποσκελίσας σοφὲ τῇ παρουσίᾳ σου.

Ῥαντισμῷ τῶν αἱμάτων σου, πλάνης φλὸξ ἀπεσβέσθη, τῇ ἐλλάμψει τῶν λόγων σου, ἡ κτίσις ἐφωτίσθη, κραυγάζουσα Βλάσιε. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Δόξα.

Οὐ σκιαῖς οὐκ αἰνίγμασιν, ὃν ἐπόθησας βλέπεις, πρὸς δὲ πρόσωπον πρόσωπον, λυθέντων τῶν ἐσόπτρων, καὶ μέλπεις γηθόμενος. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

Νυσταγμῷ κρατηθέντα με, Παρθένε ἀμελείας, ἁμαρτίας κατέλαβεν, ὕπνος θανατηφόρος. διὸ μετανοίας με πρὸς ζωηφόρον αὐγήν, Ἁγνὴ ἐξέγειρον καὶ σῶσόν με.



Καταβασία.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεός, εὐλογητὸς εἶ.

Ὠδή, ἡ. Τῆς Θεοτόκου.

Ὁ Εἱρμός.

Ὁ στεγάζων ἐν ὕδασι, τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν, σὲ ὑμνεῖ Ἥλιος, σὲ δοξάζει σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα ἡ κτίσις, τῷ Δημιουργῷ καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ἱεραί σε προήγγειλαν, παρθενομῆτορ φωναί, ἐσομένην Κόρην τοῦ ποιητοῦ σου, ὑπὲρ φύσιν τροφόν, γέννησιν ἄρρητον ὡς καὶ σύλληψιν ξένην κεκτημένην. Ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Μόνην σε ἐξελέξατο, τὴν καλλονὴν Ἰακὼβ τοῦ Πατρὸς ὁ Λόγος, καὶ σοῦ ἐν μέσῳ κατεσκήνωσε, καὶ ὡς ηὐδόκησεν, ὑπὲρ πάντας ὡραῖος, τοὺς ἀνθρώπους πάναγνε προῆλθε, τὴν ἀμαυρωθεῖσαν ἡμῶν καθᾶραι φύσιν.

Ὁ παράδοξος τόκος, τὰς διανοίας ἡμῶν, καταπλήττει μόνη εὐλογημένη, ὁ Θεὸς γὰρ ἐκ σοῦ, σάρκα προσέλαβεν· ὅπερ ἦν διαμείνας Θεοτόκε ἄτρεπτος τῇ φύσει· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Κυματούμενον σάλῳ με τῆς ἁμαρτίας ἁγνή, τῇ σῇ μεσιτείᾳ πρὸς σωτηρίας, μετανοίας βοῶ, ἴθυνον Δέσποινα, παγγαλήνους λιμένας, ὅπως βλέψω φῶς σωτηρίας, ὁ ἐσκοτισμένος ἀεὶ τῇ ῥαθυμίᾳ.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ὡς κριὸς ἐθελόθυτος, ὡς ἱερεῖον δεκτόν, ὡς ἀμνὸς ἄκακος, χαίρων προσήχθης, τῷ τυθέντι Ἀμνῷ, εἰς ἡμῶν λύτρωσιν, καὶ Μαρτύρων συνήχθης ὁμήγυρει, μέλπων σὺν Ἀγγέλοις, τὴν ἱερωτάτην παμμάκαρ ὑμνῳδίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σταλαγμοῖς τῶν αἱμάτων σου, ἀποξηράνας βυθόν, ἀθεΐας Μάρτυς, ἔβλυσας κόσμῳ, ἰαμάτων κρουνούς, παύοντας καύσωνα, παθημάτων παντοίων, τῶν ἐν πίστει σοι καταφευγόντων, καὶ ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Οὐκ ἀρνούμεθα Κύριον, τὸν ἐπὶ πάντων Θεόν, ἱερῶν γυναίων χορός, ἐβόα ὁ μακάριος· ὅθεν ξεόμεναι, καὶ πυρὶ ὁμιλοῦσαι, καὶ σιδήρῳ κάρας ἐκτμηθεῖσαι, ἔχαιρον ὑμνοῦσαι Χριστὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Ἱεραί σε προήγγειλαν, παρθενομῆτορ φωναί, ἐσομένην Κόρη τοῦ ποιητοῦ σου, ὑπὲρ φύσιν τροφόν, γέννησιν ἄρρητον, ὡς καὶ σύλληψιν ξένην κεκτημένην. Ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αἰνοῦμεν εὐλογοῦμεν.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο· τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἐγείρει ψάλλειν σοι, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδή, θʹ. τῆς Θεοτόκου.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα, ἐν ὄρει τῷ Νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Φέρεις ἐν ἀγκάλαις, Χριστὸν τὸν διακρατοῦντα, οἰκουμένην πᾶσαν, χειρὶ ἁγνὴ παρθενομῆτορ· ὃν ἱκέτευε ὡς Υἱόν σου καὶ κτίστην, σῶσαι τὰς ψύχας τῶν ἀνυμνούντων σε.

Ὡς διασωθέντες, Παρθένε τῆς πρὶν κατάρας, διὰ τοῦ σοῦ θείου τόκου, ἐπαξίως ὑμνοῦμεν, εὐχαρίστως πάντες μελῳδοῦντες, χαῖρε Θεοτόκε ἡ ἐλπὶς ἡμῶν.

Σὺ εἶ Θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος, σὺ εἶ ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων· σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.



Δέσποινα Παρθένε, Ἁγνὴ καὶ δεδοξασμένη, μετὰ τοῦ Ἱεράρχου τὸν σὸν Υἱὸν καὶ Βασιλέα, καθικέτευε ἀπὸ πάσης ἀνάγκης, σῶσαι τοὺς πιστῶς σε μακαρίζοντας.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ὡς ὑπερφυεῖ κλίμακι, τῷ αἵματι Μάρτυς, ἐπιβὰς τὰς ἄνω μονάς, κατέλαβες ὡραῖος, ἀγλαΐας ἀποδειχθεὶς τῶν ἀγώνων, καὶ τῷ στεφοδότῃ σου παρίστασαι.

Σὲ τὸν φωταυγῆ Ἥλιον, ποθοῦσαι γυναῖκες, καὶ ἡδυπνόων Χριστέ, ὀσφρανθεῖσαί σου μύρων, διὰ πάθους τὸ σὸν εἰκόνισαν πάθος, καὶ τῆς ἀφθαρσίας ἠξιώθησαν.

Δόξα.

Ἡμεροφαὴς ὡς ἀστήρ, ταῖς ἄνω χορίαις, αὐλιζόμενος Βλάσιε, τὴν φωσφόρον σου μνήμην, τοὺς γεραίροντας ζοφερῶν ἐγκλημάτων, ῥῦσαι ταῖς πρεσβείαις σου δεόμεθα.

Καὶ νῦν.

Φέρεις ἐν ἀγκάλαις, Χριστὸν τὸν διακρατοῦντα, οἰκουμένην πᾶσαν, χειρὶ Ἁγνὴ παρθενομῆτορ. ὃν ἱκέτευεν ὡς Υἱὸν καὶ κτίστην, σῶσαι τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

Καταβασία.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω, χαίροις παμμακάριστε Θεοτόκε, Ἁγνὴ Ἀειπάρθενε.

Ἐξαποστειλάριον.

Ἐν πνεύματι τῷ Ἱερῷ.

Μαρτύρων σὲ ὡραΐσμα, ἱερέων τὸ κλέος, γινώσκομεν πανόλβιε Βλάσιε ἱεράρχα, ὡς θῦμα γὰρ προσήνεγκας, σεαυτὸν καὶ τέθυσαι, τῷ διὰ σὲ εἰς θυσίαν, ἑκουσίως ἐλθόντι, ἀγαθότητι ἀφράστῳ, καὶ βουλήσει ἀρρήτῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἕτερον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Δεῦτε καὶ δῶμεν σήμερον, τῷ Χριστῷ δόξαν πάντες· αὐτὸς γὰρ ὁ Θεὸς ἡμῶν, τέρασι παραδόξοις καὶ θαύμασι πολυτρόποις, τὸν σοφὸν ἱεράρχην, καὶ μάρτυρα ἐδόξασε, Βλάσιον ὃν τιμῶντες, καὶ τὴν αὐτοῦ, ἱερὰν πανήγυριν ἐκτελοῦντες, ἁμαρτιῶν λυτρούμεθα, ταῖς αὐτοῦ ἱκεσίαις.

Θεοτοκίον. Ὅμοιον.

Ζητῶν με τὸ πλανώμενον, πρόβατον παραβάσει, Θεὸς ὁ πλαστουργήσας με, σοῦ τὴν ἄφθορον μήτραν, ὑπέδυ ἄχραντε Κόρη· καὶ λαβών με ἐπ' ὤμων, εἰς οὐρανοὺς ἀνύψωσε, συνεδρίᾳ τιμήσας, τῇ πατρικῇ, οὗ τὴν ἀνυπέρβλητον εὐσπλαγχνίαν, καὶ σὲ τὴν Θεομήτορα, προσκυνῶ καὶ δοξάζω.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ΄.

Ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Τῆς ἀσεβείας καθεῖλες τὰ ὀχυρώματα, ἐν τῇ ὑπομονῇ σου, ἀθλοφόρε Κυρίου· καὶ νίκην οὐρανόθεν ἐδέξω σοφέ, μὴ οὖν παύσῃ δεόμενος, ὑπὲρ τῶν πίστει τελούντων τὴν ἱεράν, καὶ σεβάσμιόν σου ἄθλησιν.

Τοὺς ἱερούς σου ἀγῶνας πιστῶς γεραίρομεν, ἀθλητικοῖς καμάτοις, οὓς διήνυσας χαίρων, Βλάσιε τρισμάκαρ, ὑπὲρ Χριστοῦ, τοῦ Σταυρὸν ὑπομείναντος, καὶ τὴν ἁγίαν σου μνήμην περιχαρῶς, ἑορτάζομεν ἐν ᾄσμασιν.

Ἡ τῶν λειψάνων σου θήκη Ἱερομάρτυς Χριστοῦ, ὡς ποταμὸς ἐκβλύζει τῶν ἰάσεων ῥεῖθρα, καὶ πάντων καταρδεύει τῶν εὐσεβῶν, τὰς καρδίας πανεύφημε, τῶν προσφοιτώντων ἑκάστοτε ἐν αὐτῇ, καὶ ὑμνούντων τοὺς ἀγῶνάς σου.

Ἱερομύστης τοῦ λόγου Πάτερ γενόμενος, μαρτυρικοῖς τε ἄθλοις, σεαυτὸν ἐκλαμπρύνας, Βλάσιε τρισμάκαρ παρέχοις ὑμῖν ἰαμάτων χαρίσματα, τοῖς ἐν τῇ μνήμῃ σου ταύτῃ τῇ ἱερᾷ, προσιοῦσι καὶ τιμῶσί σε.



Δόξα.

Ἦχος, πλ. δ΄.

Ἱερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτισας παμμακάριστε Βλάσιε, ἱερουργῶν γὰρ θεῖα, καὶ ἄρρητα μυστήρια, τὸ αἷμα ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον αὐτῷ προσήγαγες. Διὸ παρρησίαν ἔχων πρὸς αὐτόν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου, καὶ τοὺς αὐτὴν γεραίροντας, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων κινδύνων καὶ περιστάσεων.

Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· Σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου καὶ πάντων τῶν Ἁγίων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος ἡ γ΄. τῆς Ἁγίας Θεοδώρας καὶ ἡ στ΄. τοῦ Ἱερομάρτυρος.

ΑΠΟΣΤΟΛΟΣ. Ἀδελφοὶ ὁ καρπός.

ΕΥΑΓΓΕΛΙΟΝ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος ἐγώ εἰμι ἡ Θύρα.

ΚΟΙΝΩΝΙΚΟΝ

Εἰς Μνημόσυνον αἰώνιον.

**ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΕΝ ΤΡΙΑΔΙ ΘΕΩι ΔΟΞΑ**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΥΧΗ

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, ἐξ Ἡλίου Ἥλιε νοητὲ τῆς Δικαιοσύνης, Σὺ ὅστις δι᾽ ἄκραν φιλανθρωπίαν κατέβης ἐξ οὐρανοῦ καὶ ἐκ τῆς Ἀειπαρθένου Μαρίας διὰ Πνεύματος Ἁγίου ἐνηνθρώπησας, ἀγαθότητι καὶ εὐδοκίᾳ τοῦ Σοῦ Συνανάρχου Πατρός, ἵνα σώσῃς τὸ γένος ἡμῶν διὰ τοῦ ἀχράντου Σταυροῦ, Σὲ παρακαλοῦμεν καὶ Σὲ ἱκετεύομεν, δέξαι τὰς ὑπὲρ ἡμῶν παρὰ Σοὶ γινομένας ἐντεύξεις τε καὶ δεήσεις τῶν σῶν θαυμαστῶν ἁγίων Ἰάσωνος καὶ Σωσιπάτρου, καὶ Κερκύρας τῆς Παρθενομάρτυρος, καὶ Ἀρσενίου τοῦ Ἱεράρχου, καὶ Ἱερομάρτυρος Βλασίου καὶ Θεοδώρας τῆς Αὐγούστης, οὓς σὺν τῇ Θεοτόκῳ προβάλλομέν Σοι πρέσβεις, ὅπως εὐχαῖς αὐτῶν λάβωμεν τὴν συγχώρησιν τῶν ἁμαρτημάτων ἡμῶν καὶ τὸν ἔλεον εἰς εὔκαιρον βοήθειαν.

Ἀμήν.

# ΤΑ ΚΥΡΙΩΤΕΡΑ ΠΑΡΟΡΑΜΑΤΑ

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ἐν σελ. | 3 | στίχῳ | 20 | ἀντὶ πόμεθα | ἀνάγνωθι | πιόμεθα |
| » » | 6 | » | 18 | » σεσαρκωμένων | » | σεσαρκωμένον |
| » » | 20 | » | 8 | » εἶποι τις | » | εἴπῃ τις |
| » » | 21 | » | 31 | » προσοικειωθῆται | » | προσοικειωθῆναι |
| » » | 27 | » | 26 | » τῷ ὄντι | » | τῷ ὄντι |
| » » | 28 | » | 27 | » ἄρκος | » | ἄρκτος |
| » » | 34 | » | 16 | » ἡμεῖ | » | ἡμεῖς |
| » » | 48 | » | 14 | » Καὶ τὰ Ἀναγνώσματα Εἴσοδος. Φῶς ἱλαρόν. | » | Εἴσοδος. Φῶς ἱλαρόν. Καὶ τὰ Ἀναγνώσματα. |
| » » | 52 | » | 19 | » Θεόρρων | ἀνάγνωθι | Θεόρρον |
| » » | 53 | » | 6 | » Δόξα, τὸν τάφον σου Σωτὴρ | » | Δόξα, ἦχος α᾽. Τὸν τάφον σου Σωτὴρ |
| » » | 65 | » | 4 | » εἰς πάντας | » | εἰς πάντας τοὺς αἰῶνας |
| » » | 68 | » | 3 | » Χαίροις βηθανίας γόνε κλεινὲ (ὡς ἄνω) | » | Τὸ ἑξῆς Μεγαλυνάριον |

Χαίροις Βηθανίας γόνε κλεινέ· χαίροις θλιβομένων παρακλῆτορ καὶ ἰατρέ· χαίροις Κερκυραίων ὁ πρόεδρος καὶ φύλαξ, Ἀρσένιε τρισμάκαρ, Ἀρχιερέων Κανών.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ἐν σελ. | 73 | στίχῳ | 12 | ἀντὶ τὰς ἡμῶν | ἀνάγνωθι | νῦν τὰς ἡμῶν |
| » » | 74 | » | 34 | » ἔδειξε | » | ἔδειξε |
| » » | 103 | » | 11 | » φιλανθωπίᾳ | » | φιλανθρωπίᾳ |
| » » | 104 | » | 9 | » τὸ οἰκτίρμονα | » | τὸν οἰκτίρμονα. |

Τὰ λοιπὰ ἀφίενται τῇ ἐπιεικείᾳ τοῦ ἀναγνώστου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ

# ΕΡΓΑ ΤΟΥ ΑΥΤΟΥ

Λόγοι καὶ διατριβαὶ διάφοροι, δημοσιευθέντες ἐν τοῖς περιοδικοῖς «Σιών», «Ἀναπλάσει» καὶ ἀλλαχοῦ. 1877—1908.

La Divina Liturgia di S. Giovanni Crisostomo dal greco in italiano coll' originale greco, aggiunte note e spiegazioni—Venezia 1890 (esaurita).

Risposta della Chiesa di Constantinopoli alla Enciclica papale ecc. tradotta dal Greco (II edizione, esaurita). Venezia 1895.

Στοχασμοὶ αὐτοσχέδιοι ἐπὶ τῆς ἐν Γολγοθᾷ Αἰωνίας Λυτρώσεως. Ἐν Βενετίᾳ 1895.

Δύο λόγοι εἰς τὴν Μ. Παρασκευήν. Ἐν Βενετίᾳ 1898.

Pensieri sulla Religione—Venezia 1899.

Δύο λόγοι ἐκφωνηθέντες ἐν ταῖς Μητροπόλεσιν Ἀθηνῶν καὶ Κερκύρας. Ἐν Κερκύρᾳ 1899.

Ἡ Ἀντιλογία. Ἐν Κερκύρᾳ 1901.

Τὰ Δεινοπαθήματα. Ἐν Κερκύρᾳ 1901.

Λόγος εἰς τοὺς Τρεῖς Ἱεράρχας. Ἐν Κερκύρᾳ 1903.

Τὸ Ἀθάνατον Πνεῦμα, ἢ Σκέψις ἐπὶ τοῦ 16ου ἐδαφίου τοῦ ΡΒ´ ψαλμοῦ. Ἔκδοσις δευτέρα, μεθ' ὕμνου καὶ ἑνὸς λόγου. Ἐν Κερκύρᾳ 1903.

Παναγιοταφικαὶ Ἐντυπώσεις Ἐν Ἀθήναις 1905.

Ἀνάλεκτα. Ἐν Κερκύρᾳ 1906.

Λόγος εἰς τὴν ἁγίαν καὶ Μ. Παρασκευήν. Ἐν Κερκύρᾳ. 1907.

Βραχεῖαι Ὁμιλίαι κατὰ τὰς Κυριακὰς τῆς Μεγάλης Τεσσαρακοστῆς, μετὰ Λόγου τῆς Μ. Παρασκευῆς. Ἐν Κερκύρᾳ 1908.

Κατήχησις ἱερά. ἤτοι τῆς Θείας καὶ Ἱερᾶς Λειτουργίας ἐξήγησις, συντεθεῖσα μὲν ὑπὸ Νικολάου τοῦ Βουλγάρεως, ἐκδοθεῖσα δὲ ὑπ' αὐτοῦ ἐπὶ τὸ βέλτιον διερρυθμισμένη. Ἐν Κερκύρᾳ 1908.

Αἱ Παραδοξολογίαι. Ἐν Κερκύρᾳ 1909.

Ἡ Ἀδολεσχία. Ἐν Κερκύρᾳ 1909.

ΓΕΩΡ. ΑΝΑΣΤ. ΝΙΚΟΛΑΟΥ